1. *Μνημονεύω σου, ὦ φίλε, πανταχοῦ καὶ μνημονεύσω σου ἀεί.* 2. *Τὸν αὐτὸν ἐγκωμιάζειν καὶ ψέγειν οὐκ ἔστιν ἀγαθῶν.* 3. *Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύει αὐτῷ.* 4. *Ἀρετὴ ὑγίειά τέ τις ἂν εἴη καὶ εὐεξία ψυχῆς.* 5. *Θαυμάζω ἔγωγε, εἴ τις τοῦτο τὸ χωρίον μᾶλλον φοβερὸν νομίζει εἶναι τῶν ἄλλων, δι' ὧν πορευόμεθα.* 6. *Κάδμος ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην ἧκε καὶ ᾤκισε Θήβας.* 7. *Οὐκ ἄν τις ὀρθῶς λέγοι τοὺς θεοὺς συμμάχους εἶναι τοῖς ἐπιόρκοις.*

1. Wenn jemand den Göttern vertraut, wie wohl möchte er nicht glauben, dass es Götter giebt? 2. Wir sind tapfer, ihr aber seid es nicht. 3. Die Menschen sind sich oft am feindlichsten. 4. Der Reichtum ist vergänglich (sterblich), der Ruhm aber unsterblich. 5. Ägypten ist ein Geschenk des Nilflusses. 6. Die Tugend ist etwas Schönes.

55.

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 39.

Μετὰ τὴν τῶν Θηβαίων συμφορὰν τοῖς Ἀθηναίοις καὶ τοῖς ἄλλοις, οἳ ἐνεωτέρισαν, φόβος ἦν, μὴ ὑπ' Ἀλεξάνδρου τὰ αὐτὰ πάσχειν τοῖς Θηβαίοις, καὶ οἱ Ἀθηναῖοι ἐπιλεξάμενοι, οὓς Ἀλεξάνδρῳ ἐπιτηδειοτάτους ἐγίγνωσκον, πρεσβείαν πρὸς αὐτὸν ἔπεμψαν καὶ ἐκέλευσαν λέγειν τὸν τῶν Ἀθηναίων δῆμον χαίρειν τῇ Ἀλεξάνδρου σωτηρίᾳ καὶ τῇ τῶν Θηβαίων διαφθορᾷ. Ὁ δὲ Ἀλέξανδρος τὴν μὲν

πρεσβείαν φιλανθρώπως ἐδέξατο, ἐπιστολὴν δὲ ἔγραψε πρὸς τὸν δῆμον ἐπικελευόμενος τοὺς ἑαυτοῦ ἐναντίους ἐξ Ἀθηνῶν ἐκβάλλειν. Τούτους γὰρ ἔφασκεν αἰτίους εἶναι τῆς τῶν Ἀθηναίων ἔχθρας. Οἱ δὲ Ἀθηναῖοι ἐπρεσβεύσαντο αὖθις πρὸς τὸν Ἀλέξανδρον δεόμενοι παύσασθαι τῆς ὀργῆς. Ὁ δὲ βουλόμενος διαλλάττεσθαι τοῖς Ἀθηναίοις συγγιγνώσκει.

56.

Fortsetzung.

Ταῦτα δὲ διαπραξάμενος ὁ Ἀλέξανδρος ἐπανῆγε τὴν στρατιὰν εἰς τὴν Μακεδονίαν καὶ παρεσκευάζετο πρὸς τὸν ἐπὶ τοὺς Πέρσας πόλεμον. Τῷ δὲ ἐπιγιγνομένῳ ἐνιαυτῷ ἐξελαύνει σὺν τῇ στρατιᾷ ἐκ τῆς Μακεδονίας καὶ διαβαίνει τὸν Ἑλλήσποντον. Λέγουσι δὲ αὐτόν, ἐπεὶ ἧκεν εἰς Ἴλιον, θῦσαι τοῖς θεοῖς καὶ Πριάμῳ. Ἐντεῦθεν δὲ ἐπορεύετο πρὸς τὸν Γρανικὸν ποταμόν· ἤκουσε γὰρ τοὺς τῶν Περσῶν στρατηγοὺς στρατοπεδεύεσθαι ἐκεῖ.

57.

Fortsetzung.

Ἦσαν δὲ Περσῶν στρατηγοὶ Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Πετίνης καὶ Νιφάτης καὶ σὺν τούτοις Σπιθριδάτης ὁ Λυδίας καὶ Ἰωνίας σατράπης καὶ Ἀρσίτης ὁ τῆς πρὸς Ἑλλησπόντῳ Φρυγίας ὕπαρχος. Ἐπειδὴ δὲ ἠγγέλλετο, Ἀλέξανδρον ἥκειν, βουλευομένοις αὐτοῖς, τί χρὴ πράττειν, Μέμνων ὁ Ῥόδιος λέγει μὴ μάχεσθαι, ἀλλ᾽ ἀπέρχεσθαι ὀπίσω καὶ τοὺς ἐν τῇ χώρᾳ καρποὺς διαφθείρειν. Οὕτω γὰρ ἔφη αὐτοὺς Ἀλέξανδρον ἀναγκάσειν ἀπορίᾳ τῶν ἐπιτηδείων τὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην ἐπανάγειν.

58.

Fortsetzung.

Οἱ δὲ αὐτῷ οὐκ ἐπείθοντο, ἀλλὰ τὴν στρατιὰν ἐπὶ τῷ Γρανικῷ ποταμῷ ὡς εἰς μάχην συνέταξαν. Ὁ δὲ Ἀλέξανδρος, ἐπεὶ ἐγγὺς ἦν τῶν πολεμίων, καὶ αὐτὸς συνέταξε τὸν στρατὸν καὶ τοὺς περὶ αὐτὸν ἕπεσθαι ἐκέλευσε καὶ ἀνδρείους εἶναι. Ἔνθα δὴ μάχη γίγνεται καρτερά· καὶ τὸ μὲν πρῶτον περιῆσαν οἱ Πέρσαι· εἰσηκόντιζον γὰρ

ἄνωθεν καὶ ἐκώλυον τοὺς Ἀλεξάνδρου στρατιώτας τὸν ποταμὸν διαβαίνειν βουλομένους. Ὁ δὲ Ἀλέξανδρος ἐπὶ τούτῳ ὀργιζόμενος ἱππεύει πρὸ τῶν ἄλλων καὶ διαβαίνει τὸν ποταμὸν καὶ ἐπελαύνει ἐπὶ τοὺς πολεμίους. Οἱ δὲ περὶ αὐτὸν αἰσχυνόμενοι ἕπονται. Τότε δὴ οἱ βάρβαροι πιεζόμενοι πανταχόθεν τρέπονται εἰς φυγήν· ἐδίωκον δ' αὐτοὺς οἱ τοῦ Ἀλεξάνδρου καὶ τοὺς μὲν ἀπέκτεινον, τοὺς δὲ συνελάμβανον.



Zweiter Kursus.

59.

Koch § 26. Einübung von *ὁ ἅλς* das Salz, *ὁ θήρ* das (wilde) Tier und *ὁ ῥήτωρ* der Redner, resp. *τὸ νέκταρ* der Nektar.

1. *Τοῖς θεοῖς ὁ μὲν σῖτος ἦν ἀμβροσία, τὸ δὲ ποτὸν νέκταρ.* 2. *Ὡς χρυσῷ τὸ πῦρ, οὕτω καὶ φίλῳ ὁ καιρὸς βάσανός ἐστι.* 3. *Οἱ τῶν ἀνθρώπων χαρακτῆρες ἐκ τῶν λόγων γνωρίζονται.* 4. *Λυσίας καὶ Ἰσαῖος ἔνδοξοι ῥήτορες ἦσαν.* 5. *Ἡ τῶν τέκνων θεραπεία ἀνθρώποις καὶ θηρσὶ κοινὸς νόμος ἐστίν.* 6. *Ποῦ ἅλες; ποῖ τράπεζαι;*

1. Die Schiffer nennen die Dioskuren Retter. 2. Die Lacedämonier waren keine (nicht) Freunde der Redner. 3. Die Götter sind den Menschen Geber des Guten (plur.). 4. Ich glaube, dass auch diejenigen, welche sehr gepflegt werden, nicht immer von den Krankheiten befreit werden.

60.

Koch § 26. Einübung von *ὁ ποιμήν* der Hirt und *ὁ δαίμων* die Gottheit.

1. *Ἀποπέμπεται Ἀλκιβιάδης ὑπὸ τοῦ τῶν Ἀθηναίων δήμου ἡγεμὼν αὐτοκράτωρ.* 2. *Ὅμηρος τοῖς Ἕλλησιν ὥσπερ πατὴρ τῆς σοφίας ἐστὶ καὶ ἡγεμών.* 3. *Δικαίως οἱ Ἀθηναῖοι Μιλτιάδην ὠνόμαζον σωτῆρα τῶν Ἑλλήνων.* 4. *Οἱ μὲν ἄλλοι Ἕλληνες τελευτὴν ᾤοντο τοῦ ἐπὶ τοὺς Πέρσας πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχήν.*

1. Stare und Papageien lernen sprechen (sich unterreden). 2. Die Dichter nennen den Himmel Äther. 3. Die guten Menschen sind Ebenbilder der Götter. 4. In dem Peloponnes giebt es schöne und gefahrlose Häfen. 5. Die

Athener waren in dem Kriege gegen die Perser die Retter der Griechen.

61.

Koch § 26. Einübung von *ὁ γέρων* der Greis.

1. *Χειμῶνος λιμένες ὑπὸ τῶν ναυτῶν ἀναμαστεύονται.* 2. *Τοῖς γέρουσιν ὁ βίος οὐκ ἔστι χαλεπός.* 3. *Οἱ Ἀθηναῖοι οὐ μόνον ἐν τοῖς γυμνικοῖς ἀγῶσι καὶ ἐν τοῖς χοροῖς, ἀλλὰ καὶ ἐν ταῖς κατὰ γῆν τε καὶ κατὰ θάλατταν μάχαις ἔνδοξοι ἦσαν.* 4. *Ἄρχοντες τῶν ἀγελῶν εἰσιν οἱ ποιμένες.*

1. Die Athener ernannten jährlich neun Archonten, die Römer aber zwei Konsuln. 2. Die Löwen sind stark. 3. Die Hellenen waren die Lehrer der Römer. 4. Der Schlaf ist ein Ebenbild des Todes. 5. In den gymnischen Kämpfen der Hellenen war der Lohn des Sieges ein Kranz. 6. Sprich nicht, wer warst du früher, sondern wer bist du jetzt.

62.

Koch § 41. Einübung von *παιδεύων, εύουσα, εῦον.* Koch § 45. Einübung von *παιδεύσων, εύσουσα, εῦσον.* Koch § 51. Einübung von *ὤν, οὖσα, ὄν.*

1. *Πρόξενος παρῆν ἔχων ὁπλίτας καὶ γυμνῆτας.* 2. *Ἐλέγετο τοὺς πολεμίους εἶναι ἐπὶ τῶν ἄκρων φυλάττοντας τὴν εἰςβολήν.* 3. *Φίλων παρόντων καὶ ἀπόντων μνήμων ἴσθι.* 4. *Ταύτην τὴν χώραν ἐπέτρεψε Κῦρος διαρπάσαι τῇ στρατιᾷ ὡς πολεμίαν οὖσαν.* 5. *Οἱ Ἀθηναῖοι εἰς Λακεδαίμονα ἄγγελον ἔπεμψαν λέξοντα τοὺς Πέρσας ἐν τῇ Ἀττικῇ εἶναι.* 6. *Κύρου ἄρχοντος οἱ Πέρσαι ἦσαν ἀνδρειότατοι καὶ πολεμικώτατοι, ὕστερον δὲ ἐθρύπτοντο.*

1. Da (gen. abs.) dieses sich so verhält, müssen wir (*δεῖ*) mit den Feinden kämpfen. 2. Cyrus befahl dem Proxenus, der (part.) sein Gastfreund war, zu ihm zu kommen, weil er gegen die Pisidier zu Felde ziehen wollte. 3. Übe dich durch freiwillige Mühen, damit du auch die unfreiwilligen erträgst. 4. Als die Feldherrn opferten, fielen (waren) die Opfer nicht schön aus. 5. Ich bin gekommen, um dir zu befehlen, den Gesetzen zu gehorchen. 6. Er argwöhnte, dass dieses der Täuschung wegen gesagt werde.

63.

1. *Οἱ Ἕλληνες ἀκούοντες τὴν Κύρου ἀρετὴν προθυμότερον συνεπορεύοντο.* 2. *Νόμος τοῖς Ἕλλησιν ἦν, κατὰ τὸν πάτριον τρόπον τὰ ἱερὰ ἀεὶ θεραπεύεσθαι ὑπὸ τῶν ἑκάστοτε ἀρχόντων.* 3. *Ὁ Σωκράτης παίζων τε καὶ σπουδάζων ὠφέλιμος ἦν τοῖς συνδιατρίβουσιν.* 4. *Ἀρίστιππος ὁ Θετταλὸς ξένος ὢν αὐτῷ καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν ἔρχεται πρὸς τὸν Κῦρον.*

1. Zweimal jährlich fand (war) der Zusammentritt der Amphiktyonen statt, im Frühlinge und im Herbste. 2. Sokrates wünschte immer etwas Nützliches hinzuzulernen. 3. Während (gen. abs.) die Hellenen daselbst die Nacht durchwachten, fällt unermesslicher Schnee, so dass er die Waffen und die Menschen bedeckte.

64.

Koch § 26. Einübung von *ὁ γίγας* der Riese. Koch § 45. Einübung von *παιδεύσας, εύσασα, εῦσαν.* cf. Koch § 32.

1. *Τοῖς δράκουσι πόλεμοι καὶ μάχαι εἰσὶ πρὸς τοὺς ἐλέφαντας.* 2. *Οἱ Ἕλληνες ἠναγκάζοντο ἐπιδιώκοντες καὶ πάλιν ἀναχαζόμενοι σχολῇ πορεύεσθαι.* 3. *Οἱ βάρβαροι ἀκούσαντες τοὺς Ἕλληνας ἤδη ἥκειν, ἔλυσαν τὴν τοῦ ποταμοῦ γέφυραν.* 4. *Δαρεῖος ὑποπτεύσας τὴν τοῦ βίου τελευτὴν μετεπέμψατο Κῦρον ἀπὸ τῆς ἀρχῆς.* 5. *Ἥλιον νεφέλη προκαλύψασα ἠφάνισε.* 6. *Ἕκαστος ἥσυχος μέσην τὴν ὁδὸν ἐρχέσθω.*

1. Die Bildsäulen der Ägineten waren berühmt. 2. Den Riesen war einst ein Kampf gegen die Götter. 3. Die Feldherrn befahlen den Soldaten zu beten; die aber, nachdem sie gebetet und den Päan angestimmt hatten, marschierten gegen die Feinde. 4. Aus diesem Lande schickte der Herrscher den Hellenen einen Führer, damit er sie durch das Land führe, welches feindlich war. 5. Die Feinde waren flink, so dass sie auch aus der Nähe fliehend entkamen.

65.

Einübung der verbundenen und absoluten Participialkonstruktion an Stelle deutscher Attributiv- und Adverbial-

sätze in zusammenfassender Weise mit Wiederholung der Regeln 18, 19, 35 und 41. Koch § 123–124.

1. Ὁ Σωκράτης οὐχ ἱκέτευσε τοὺς δικαστάς, ἀλλὰ πιστεύσας τῇ ἑαυτοῦ ἀβλαβείᾳ ἐκινδύνευσε τὸν ἔσχατον κίνδυνον. 2. Εὐμόλπου καὶ Ἀμαζόνων ἐπὶ τὴν Ἀττικὴν ἐπιστρατευσάντων, οἱ Ἀθηναῖοι καλῶς διεκινδύνευσαν. 3. Ἦν ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνεστρατεύετο, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος.

1. Die Führer der Perser stellten das Heer an dem Flusse Granikus auf, um den Alexander zu verhindern, denselben zu überschreiten. 2. Xerxes schickte Boten an den Leonidas, welche (part.) ihm befehlen sollten, das Heer aus den Thermopylen wegzuführen. 3. Wenn (part.) wir Freunde haben, lasst uns glauben Schätze zu besitzen (haben). 4. Gehorche denjenigen, welche (part.) weiser sind als du.

66.

Koch § 26. Einübung von ἡ ἐλπίς die Hoffnung, ἡ ἐσθής die Kleidung und τὸ σῶμα der Leib (Körper).

1. Ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια εἰσὶ ποιήματα Ὁμήρου. 2. Σὺν τοῖς θεοῖς καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας καὶ τοῖς ἀθλίοις. 3. Πλοῦτος τίμιον μέν, ἀλλὰ κτῆμα ἀβέβαιον. 4. Χάρις χάριτος, ἔρις ἔριδος, κακότης κακότητος αἰτία ἐστίν. 5. Ὁ θάνατος τὰς τῶν ἀνθρώπων φροντίδας καὶ ἐλπίδας παύει. 6. Ἐν χαλεποῖς πράγμασιν ὀλίγοι ἑταῖροι πιστοί εἰσιν.

1. Der Feige ist ein Verräter des Vaterlandes. 2. Konon zerstörte mit dem Gelde der Perser die Herrschaft der Lacedämonier. 3. Es ist gerecht, für das Vaterland zu Felde zu ziehen. 4. Im Winter führen die Schiffer die Fahrzeuge in gefahrlose Häfen. 5. In den Gedichten des Homer ist Ambrosia die Speise und Nektar das Getränk der Götter. 6. Die Weisheit allein unter (gen.) den Besitztümern ist unvergänglich (unsterblich).

67.

Koch § 26. Einübung von ὁ φύλαξ der Wächter, σάλπιγξ die Trompete und ἡ φλέψ die Ader.

1. Ὁ ὄρτυξ ἐστὶν ἡδύφωνος καὶ μαχητικός. 2. Οὐδ' ὁ ἀὴρ ἐλεύθερός ἐστι τοῖς ὄρνισι διὰ τὰς παγίδας τῶν ἀνθρώπων. 3. Οἱ παῖδες καὶ νεανίαι ἔστωσαν κόσμιοι ἐν πορείᾳ καὶ σχήματι. 4. Οἱ τῶν Ἀράβων ἵπποι καλοί εἰσι καὶ ἐλαφροί. 5. Μὴ πίστευε τοῖς κόλαξιν. 6. Οἱ Αἰθίοπες μάλιστα τὰς ἀδελφὰς θεραπεύουσιν. 7. Ὁ τῶν μαστίγων φόβος τοὺς δούλους εἰς τὸν πόνον ἀναγκάζει.

1. O Knaben und Jünglinge, ehret die Greise. 2. Die Amphiktyonen fassten Beschluss (beschlossen) über die allgemeinen Angelegenheiten Griechenlands, und zumeist lag (war) ihnen die Sorge für (gen.) das Heiligtum in Delphi ob. 3. Man sagt, dass Cyrus, nachdem (part.) er sich Asien unterworfen hatte, gegen die Scythen zu Felde gezogen sei. 4. Die Adern unseres Körpers sind voll Blut.

68.

Koch § 25, 1—3. Anmerk. a und b. Einübung von *πᾶς, πᾶσα, πᾶν* nach § 32, 4 und Bedeutungen von *πᾶς*. Einübung von *ἅπας, ἅπασα, ἅπαν*.

1. Ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι. 2. Ἡ φιλοχρηματοσύνη μήτηρ κακότητος ἁπάσης. 3. Οἱ νέοι λέοντες τοὺς γέροντας συνεξάγουσιν ἐπὶ θήραν. 4. Ἥφαιστος τὼ πόδε χωλὸς ἦν. 5. Ἄργῳ ἦσαν ὀφθαλμοὶ ἐν παντὶ τῷ σώματι. 6. Κακῶς ἔχει ἅπας ἰατρός, ἐὰν κακῶς μηδεὶς ἔχῃ. 7. Πᾶσαν ὑμῖν τὴν ἀλήθειαν λέξω. 8. Ψᾶρες καὶ κόρακες καὶ ψιττακοὶ μανθάνουσι διαλέγεσθαι.

1. Alle nennen die Dioskuren Retter. 2. Der Mensch ist nur ein Hauch und ein Schatten. 3. Der Tod ist die Trennung der Seele von dem Körper. 4. Protagoras sagte, dass der Mensch das Mass aller Dinge sei. 5. Im Winter sind die Nächte lang. 6. Sokrates war der weiseste aller Griechen.

69.

Koch § 34, 1—2. Einübung von *μέγας* gross und *πολύς* viel.

1. Ἐν Ἀρμενίᾳ κῶμαι πολλαὶ ἦσαν μεσταὶ σίτου καὶ οἴνου. 2. Πολλοὶ τῶν φίλων ἐν τῇ ἀτυχίᾳ οὐ βέβαιοί εἰσιν. 3. Οἱ πονηροὶ πολλῶν ἐπιθυμιῶν δοῦλοί εἰσιν. 4. Ἐν πολλαῖς νήσοις οὔτε ἀλώπεκές εἰσιν οὔτε ἀετοί.

5. *Οἱ τύραννοι πολλοὺς φύλακας ἔχουσι.* 6. *Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον.* 7. *Οἱ Καρχηδόνιοι μεγάλην στρατιὰν εἰς Σικελίαν διεβίβασαν.* 8. *Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἄγει.*

1. Lästig sind den Soldaten die Panzer. 2. Die Araber haben schöne Pferde und Kamele. 3. Die Nester der Adler und Geier sind auf hohen Felsen. 4. Die Insel Sicilien bringt nicht nur Getreide hervor, sondern auch Wein und Öl. 5. Cyrus steigt hinab in eine grosse und schöne Ebene, voll mannigfaltiger Bäume und Weinstöcke. 6. In dem Lande der Perser giebt es grosse und schöne Jungfrauen. 7. Amorgos bringt vielen Wein und Getreide hervor. 8. Wahrheit und Besonnenheit und Frömmigkeit und die anderen Tugenden sollen den Menschen lieb sein. 9. Xerxes zog mit einem grossen Heere gegen Griechenland zu Felde.

70.

Koch § 40, 6. Einübung von *τίς* wer? *τί* was? und *τίνες* welche? Einübung von *τὶς* (enclit.) irgend einer, ein gewisser und *τὶ* etwas.

1. *Μὴ λέγε, τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.* 2. *Ἔστι τις ἐν ἀνθρώποις ἔρως ψυχῆς δικαίας καὶ ἀγαθῆς.* 3. *Οὐ πάντες τῶν καλῶν ὀρέγονται, ἀλλά τινες τῶν κακῶν.* 4. *Τίνι ἡ ὑγίεια μέγα ἀγαθὸν οὐ φαίνεται;* 5. *Τίς οὕτω μαίνεται, ὥστε μὴ βούλεσθαι τῷ εὐεργέτῃ φίλος εἶναι;* 6. *Τίς ἔγραψε ταύτην τὴν ἐπιστολήν;* 7. *Λεγέτω, τί ἔσται τοῖς στρατιώταις ταῦτα αὐτῷ χαρισαμένοις.* 8. *Φαλῖνος ἔφη· οὗτοι μέν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει· σὺ δὲ ἡμῖν λέξον, τί λέγεις.*

1. Im Heere befand sich ein gewisser Xenophon aus Athen, welchen Proxenus von Hause hatte holen lassen, weil er sein alter Gastfreund war. 2. Was warten wir? 3. Wer war weiser als Sokrates? 4. Was ist den Menschen am feindlichsten? Sie selbst sich selbst. 5. Ein gewisser Seriphier, der von einem Athener seines kleinen Vaterlandes wegen geschmäht wurde, sagte: Mir ist das Vaterland eine Schande, du aber bist es dem Vaterlande. 6. Wessen sind diese Pferde? 7. Wem bringt ihr diese

schönen Geschenke? 8. Gewisse Menschen glauben, dass es keine Götter giebt.

71.

Koch § 40, 6. Einübung von ὅστις welcher auch immer, jeder welcher, oder in indirekten Fragesätzen wer.

1. Ὅστις ἄλλους τινὰς διαβάλλει, πονηρός ἐστιν. 2. Ὅστις μὴ κολάζει τὰς ἑαυτοῦ ἐπιθυμίας, αὐτὸς ὑπ' αὐτῶν κολάζεται. 3. Λέγε μοι, ὅστις ἐστὶν ἐκεῖνος ὁ ἀνήρ. 4. Λέξατε ἡμῖν, ὅτι φροντίζετε. 5. Ὅστις σῶμα μὲν θεραπεύει, τὸ ἑαυτοῦ οὐχ ἑαυτὸν θεραπεύει, ὅστις δὲ χρήματα, οὔθ' ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἀλλότριον τῶν ἑαυτοῦ θεραπεύει. 6. Κῦρος τοὺς ἑαυτοῦ φίλους μᾶλλον ἥδετο ἢ ἑαυτὸν πλουτίζειν.

1. Dionysius der Jüngere sagte, dass er viele Sophisten unterhalte, nicht weil er sie bewundere, sondern damit er von ihnen bewundert werde. 2. Wer immer sein Geschick mutig erträgt, der ist weise. 3. Gefalle allen und nicht nur dir. 4. Tadeln ist leicht, schwer aber zu zeigen, was man thun muss. 5. Was immer dir gut zu sein scheint, dieses thue. 6. Fliehe schimpfliche Vergnügungen; denn diese bringen Trauer hervor.

72.

Koch § 39, 2 nebst Anmerkung. Einübung von εἷς, δύο, τρεῖς und τέσσαρες.

1. Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω. 2. Βίας, εἷς τῶν ἑπτὰ σοφῶν, ἦν ἐκ Πριήνης. 3. Ἡ Ὀλυμπιὰς χρόνος ἐστὶ τεσσάρων ἐνιαυτῶν. 4. Εἰσὶ τρεῖς Χάριτες, Μοῦσαι δὲ ἐννέα. 5. Δαρείου καὶ Παρυσάτιδος ἦσαν παῖδες δύο. 6. Μιᾶς μητρὸς πάντες ἀδελφοί ἐσμεν.

1. Die Breite des Euphrat beträgt vier Stadien (ist von (gen.) vier Stadien). 2. Pyrrhus war zwei Jahre und vier Monate in Italien. 3. Der Philosoph Diogenes sagt: Ein Freund ist eine Seele in zwei Leibern. 4. Thales war einer der sieben Weisen. 5. Ich habe drei Brüder und vier Schwestern. 6. Als Philipp Richter über (gen.) zwei Schlechte war, befahl er dem einen aus Macedonien zu fliehen, dem anderen ihn zu verfolgen.

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 58.

73.

Ἐν δὲ τῇ μάχῃ, ὡς λέγουσιν, ὁ Ἀλέξανδρος αἰσθανόμενος Μιθριδάτην τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προϊππεύοντα ἐπελαύνει ἐπ᾽ αὐτὸν καὶ παίσας εἰς τὸ πρόσωπον ἀποκτείνει. Ἐν δὲ τούτῳ Ῥοισάκης ἐπελαύνει ἐπὶ τὸν Ἀλέξανδρον καὶ παίει τὴν κεφαλὴν αὐτοῦ τῇ κοπίδι. Καὶ ὁ μὲν δὴ οὐ τιτρώσκει τὸν Ἀλέξανδρον, ὁ δὲ Ἀλέξανδρος καὶ τοῦτον καταβάλλει παίσας διὰ τοῦ θώρακος τῷ ξυστῷ εἰς τὸ στέρνον.

74.

Fortsetzung.

Ἐνταῦθα δὴ Σπιθριδάτης ἀνατείνει ἐπ᾽ Ἀλέξανδρον ὄπισθεν τὴν κοπίδα, Κλεῖτος δὲ ὁ Δρωπίδου (υἱὸς) τοῦτο αἰσθανόμενος παίει αὐτὸν καὶ ἀποκόπτει τὸν ὦμον αὐτοῦ σὺν τῇ κοπίδι καὶ ἔσωσεν οὕτως Ἀλέξανδρον. Τῇ δὲ ὑστεραίᾳ μετὰ ταύτην τὴν νίκην ὁ Ἀλέξανδρος τοὺς νεκροὺς σὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ ἔθαψεν, ἔθαψε δὲ καὶ τοὺς τῶν Περσῶν ἡγεμόνας καὶ τοὺς μισθοφόρους Ἕλληνας, οὓς σὺν τοῖς Πέρσαις στρατευομένους οἱ Μακεδόνες ἐφόνευσαν, τοὺς δὲ αἰχμαλώτους αὐτῶν ἐν πέδαις εἰς τὴν Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι, ὅτι Ἕλληνες ὄντες ὑπὲρ τῶν βαρβάρων τοῖς Ἕλλησιν ἐμάχοντο. Μετὰ δὲ ταῦτα ὁ Ἀλέξανδρος σὺν τῷ στρατεύματι ἐπορεύετο ἐπὶ τὴν Λυδίαν. Καταστρεψάμενος δὲ ταύτην τὴν χώραν λαμβάνει Ἔφεσον ἄνευ μάχης.

75.

Fortsetzung.

Οἱ γὰρ μισθοφόροι, οἳ ἐν φρουρᾷ ἦσαν, ἐπεὶ τὴν τῶν Περσῶν ἧτταν ἤκουσαν, φεύγουσιν ἐξ αὐτῆς. Ἐντεῦθεν δὲ ἐξελαύνει ἐπὶ τὴν Μίλητον καὶ κατεστρατοπέδευσε πρὸς

αὐτῇ. Ἡγησίστρατος γάρ, ὃς ἦν φρούραρχος ἐν Μιλήτῳ, πρότερον γράψας τῷ Ἀλεξάνδρῳ εἰσδέξεσθαι αὐτόν, ὕστερον δὲ τοῖς Πέρσαις τὴν Μίλητον διασώζειν βουλόμενος, τὰς πύλας ἔκλεισεν. Ὁ δὲ Ἀλέξανδρος ἐκέλευσεν ἥκειν Νικάνορα ἔχοντα τὸ Ἑλληνικὸν ναυτικόν, ὁ δὲ ἥκων ὁρμίζεται σὺν τῷ ναυτικῷ ἐν τῇ νήσῳ τῇ Λάδῃ προκειμένῃ τῷ λιμένι. Καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον οἱ Μιλήσιοι πιεζόμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν πέμπουσιν ἀγγέλους παρὰ τὸν Ἀλέξανδρον εἰς τὸ στρατόπεδον λέξοντας τοὺς Μιλησίους ἐθέλειν τὴν Μίλητον καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρσαις, τὴν πολιορκίαν ἐπὶ τούτοις Ἀλέξανδρον λύειν βουλόμενοι.

76.

Fortsetzung.

Ὁ δὲ Ἀλέξανδρος προστάττει αὐτοῖς ἀπαλλάττεσθαι καὶ τοῖς Μιλησίοις ἐπαγγέλλειν παρασκευάζεσθαι ὡς εἰς μάχην καὶ λαμβάνει τὴν Μίλητον βίᾳ. Ταῦτα δὲ διαπραξάμενος ὁ Ἀλέξανδρος ἐπὶ Καρίαν ἐπορεύετο, ὅτι ἐν Ἁλικαρνασσῷ εἶναι οὐ φαύλην στρατιὰν τῶν τε βαρβάρων καὶ ξένων ἐξηγγέλλετο. Ὅσα δὲ ἐν μέσῳ πολίσματα ἦν Μιλήτου τε καὶ Ἁλικαρνασσοῦ, ταῦτα ἐξ ἐφόδου λαμβάνει καὶ καταστρατοπεδεύει πρὸς Ἁλικαρνασσῷ, ἀπέχων τοῦ πολίσματος ἐς πέντε μάλιστα σταδίους ὡς ἐπὶ χρονίῳ πολιορκίᾳ.

77.

Fortsetzung.

Ἦν δὲ τὸ χωρίον ὀχυρόν, καὶ Μέμνων αὐτὸς παρὼν τῆς τε κάτω Ἀσίας καὶ τοῦ ναυτικοῦ παντὸς ἡγεμὼν ἐφύλαττεν αὐτὸ καὶ σὺν πολλοῖς στρατιώταις ξένοις μισθοφόροις καὶ σὺν πολλοῖς τῶν Περσῶν αὐτῶν· τὸ δὲ ναυτικὸν ὡρμίζετο ἐν τῷ λιμένι. Τῇ μὲν δὴ πρώτῃ ἡμέρᾳ προσάγοντος Ἀλεξάνδρου τοῖς τειχίσμασιν, ἐκδρομή τε γίγνεται τῶν ἐκ τοῦ πολίσματος καὶ ἀκροβολισμός· οἱ δὲ παρ᾽ Ἀλεξάνδρου αὐτοὺς τρέπουσιν εἰς φυγὴν καὶ ἐς τὸ πόλισμα κατέκλεισαν. Καὶ ὁ μὲν Ἀλέξανδρος προσάγει οὐ πολλαῖς ἡμέραις ὕστερον μηχανὰς τοῖς πύργοις καὶ κελεύει ὑπορύττειν τὰ τειχίσματα, ὁ δὲ Μέμνων καὶ οἱ σὺν αὐτῷ ἀμύ-

νονται τοὺς πολεμίους ἓξ μῆνας ἀνδρειότατα καὶ πολλὰ πράγματα παρέχουσι τῷ Ἀλεξάνδρου στρατεύματι. Τὸ δὲ τελευταῖον ἀναγκάσας Μέμνονα ἀπέρχεσθαι ἐξ Ἁλικαρνασσοῦ ὁ Ἀλέξανδρος λαμβάνει αὐτὴν καὶ κατέσκαψεν.

78.

Koch § 39, 2 Anmerk. Einübung von *οὐδείς, μηδείς* und *ἄμφω*. Kardinalzahlen von 11—20.

1. *Τοῦ τῶν Ἀθηναίων ἐνιαυτοῦ μῆνες ἦσαν ἢ δώδεκα ἢ τρεῖς καὶ δέκα.* 2. *Ἐξ ἀμφοῖν, σώματος καὶ ψυχῆς, ἄνθρωπός ἐστιν.* 3. *Ἐντεῦθεν ἐξελαύνει Κῦρος σταθμοὺς τρεῖς, παρασάγγας εἴκοσιν εἰς Κελαινάς.* 4. *Οἱ αὐτόμολοι ἐμήνυσαν, ὅτι οἱ πολέμιοι κινδυνεύοιεν· διὰ τὴν τῶν σίτων ἀπορίαν.* 5. *Τὰς τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσεν.* 6. *Αἰσχρὸν μηδὲν πρᾶττε μηδὲ μάνθανε.* 7. *Κριτὴς ὢν ἀεὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε μηδενὶ χαριζόμενος.* 8. *Βίας παρούσης οὐδὲν ἰσχύει νόμος.*

1. Kein Besitztum ist geehrter als die Tugend, keines ehrwürdiger, keines beständiger. 2. Glaube, dass nichts von den menschlichen (Dingen) beständig sei. 3. Wenn euch keine Hoffnung auf Rettung ist, so rate ich euch, euch zu retten, auf welche Weise immer es möglich ist. 4. Der Jüngling soll keiner der Lüste Knecht sein. 5. Wem wohl möchte einer lieber Freund sein wollen als dem Gesetzmässigen? 6. Cyrus zieht durch Babylonien drei Tagemärsche, zwölf Parasangen. 7. In Theben in Ägypten war ein sehr altes Heiligtum von dreizehn Stadien im Umfange. 8. Beide Zeugen sind unzuverlässig; ich traue keinem von beiden.

79.

Repetition von Koch § 25 und 26, 1—2.

1. *Ἐν Σπάρτῃ τῶν μὲν γερόντων ἦν προβουλεύειν, τοῦ δὲ δήμου ἢ κελεύειν ἢ ἀπαγορεύειν.* 2. *Καλόν ἐστι κτῆμα παιδεία ἀνθρώποις.* 3. *Φιλοτιμία οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας.* 4. *Οἱ νόμοι ἡμῖν παραγγέλλουσι τὰ τέκνα ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν.* 5. *Προσήκει τοῖς ἀθληταῖς τὸ σῶμα ἀεὶ γυμνάζειν.* 6. *Ἀλ-*

κιβιάδης παρεκελεύετο τοῖς στρατιώταις, ὅτι ἀνάγκη εἴη μάχεσθαι.

1. Als die Soldaten dieses gehört hatten, waren sie unwillig und zürnten dem Klearch heftig (*ἰσχυρῶς*). 2. Den Schmeichlern lasst uns niemals vertrauen. 3. Wir sind Greise, ihr aber seid Jünglinge. 4. Wenn du andere kennen lernen willst, lerne früher dich selbst kennen. 5. Der Tempel der Aphrodite in Cythera war sehr heilig und ehrwürdig.

80.

Koch § 26, 3—4.

1. *Ὁ κοινὸς ἰατρός σε θεραπεύσει, χρόνος.* 2. *Θεμιστοκλῆς καὶ Ἀριστείδης ἔτι παῖδε ὄντε ἐστασιαζέτην.* 3. *Πολλοὶ ἄνθρωποι ἐν τῇ τῆς ἡλικίας ἀκμῇ ἀποθνήσκουσιν.* 4. *Ἀντιγόνη κρύφα τὸ ἀδελφοῦ σῶμα κλέψασα ἔθαψεν.* 5. *Τὰς τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν.* 6. *Οἱ Λακεδαιμόνιοι τρεψάμενοι τοὺς πολεμίους οὐκ ἐδίωξαν.*

1. Die Kunst wird den Künstler ernähren. 2. Man erzählt, dass Apollo den Marsyas getötet habe, weil er mit ihm über die Musik stritt. 3. Wenn der Lehrer befiehlt, musst du, o Knabe, gehorchen. 4. O edler Greis, ertrage mutig die Übel des Lebens. 5. Die Hirten bewachen die Herde, damit nicht Löwen und Wölfe sie schädigen. 6. In Äthiopien jagt man Elephanten und Löwen.

81.

Koch § 26, 5. Einübung von *ὁ πατήρ* der Vater, *ἡ μήτηρ* die Mutter, *ἡ θυγάτηρ* die Tochter, *ἡ γαστήρ* der Bauch, *ὁ ἀστήρ* der Stern und *Δημήτηρ* Demeter.

1. *Ἀβροκόμας, ἐπεὶ ἤκουε Κῦρον ἐν Κιλικίᾳ εἶναι, ἀναστρέψας ἐκ Φοινίκης παρ᾽ Ἀρταξέρξην ἀπήλαυνεν.* 2. *Οἱ Ἀθηναῖοι οὐ δυνατὸν εἶναι λέγουσι τὸν τὴν μητέρα καὶ τὸν πατέρα μὴ θεραπεύοντα τοὺς θεοὺς θεραπεύειν.* 3. *Προσήκει τοῖς παισὶ πείθεσθαι τοῖς πατράσιν.* 4. *Εἰκότως τὸν πόνον λέγουσι τῆς δόξης πατέρα.* 5. *Σχολαστικός τις ἐν ἀπορίᾳ ὢν τὰ ἑαυτοῦ βιβλία ἐπίπρασκε καὶ γράφων πρὸς τὸν πατέρα ἔλεγε· σύγχαιρε ἡμῖν, πάτερ, ἤδη γὰρ ἡμᾶς τὰ βιβλία τρέφει.* 6. *Μὴ γαστρὶ δούλευε.* 7. *Ἐν*

τῇ μεσογαίᾳ τῆς Σικελίας ἐστὶν Ἔννα, ἐν ᾗ τὸ ἱερὸν τῆς Δήμητρος.

1. Die Schwalben sind die Herolde des Frühlings. 2. Gehorche, o Tochter, dem Vater und der Mutter. 3. Die Folgsamkeit ist die Mutter des Glücks. 4. Des Goldes wegen stellen oft Freunde den Freunden und Kinder den Vätern nach. 5. Die Musen waren die Töchter des Zeus und der Mnemosyne. 6. Persephone war die Tochter der Demeter. 7. Die Dichter sind uns gleichsam die Väter der Weisheit und Führer.

82.

Koch § 24. Einübung der attischen zweiten Deklination: ὁ νεώς der Tempel, **Μενέλεως** Menelaus und ἵλεως gnädig.

1. Ὁ πλοῦτος θνητός, ἡ τῶν ἀγαθῶν δόξα ἀγήρως. 2. Οἱ ταῷ τῆς Ἥρας ἱεροὶ ἦσαν. 3. Πολλοὶ ἦσαν νεῴ τοῖς θεοῖς ἐν Ἀθήναις. 4. Οὐ μόνον οἱ θηρευταί, ἀλλὰ καὶ οἱ οἰωνοὶ καὶ πολλὰ θηρία ἄγρια ἐνεδρεύουσι τοὺς λαγώς. 5. Ἐν τῇ Σάμῳ τῇ Ἥρᾳ πολλοὺς ταὼς τρέφουσι. 6. Ἡ χιὼν τὴν ὀσμὴν τοῦ λαγὼ ἀφανίζει.

1. Androgeos war ein Sohn des Minos. 2. O Götter, seid gnädig den Schutzflehenden. 3. In den königlichen Schlössern giebt es schöne Säle. 4. Xerxes durchgrub den Athos.

83.

Koch § 32. Einübung von ὁ ἀνήρ der Mann, ἡ γυνή die Frau und **Ζεύς** Zeus.

1. Γυναικός ἐστιν ἐσθλῆς σῴζειν τὴν οἰκίαν. 2. Ὅμηρος τὸν Δία πατέρα λέγει τῶν θεῶν καὶ τῶν ἀνθρώπων. 3. Ὦ πολῖται, μάχεσθε περὶ τῶν γυναικῶν καὶ τῶν παίδων. 4. Ἔστιν ἀνδρὸς ἀγαθοῦ πάντα κακὰ ἀνδρείως φέρειν. 5. Παρὰ τοῖς παλαιοῖς γυναικῶν ἔργα ἦσαν, ὦ γύναι, ἱστοὶ οὐδὲ ἐκκλησίαι. 6. Γυναιξὶ πάσαις κόσμον ἡ σιγὴ φέρει.

1. In Libyen sind die Hasen weiss. 2. Kastor war ein Sohn des Tyndareos. 3. Für die Frauen ist der Charakter ein Schmuck, nicht das Gold. 4. Frei ist niemand ausser Zeus. 5. Den Männern geziemt es für das Vaterland zu kämpfen. 6. Man sagt, dass die Musen

Töchter des Zeus und der Mnemosyne sind. 7. O Männer, lasst uns tapfer mit den Feinden kämpfen, damit wir uns Lebensmittel verschaffen; denn der Mangel ist gross, und die Dörfer der Feinde sind voll Wein und Getreide. 8. Aus der Schlacht zu fliehen ist nicht (die Sache) eines tapferen Mannes.

84.

Koch § 32. Einübung von *ὁ μάρτυς* der Zeuge, *ἡ ναῦς* das Schiff und *τὸ οὖς* das Ohr.

1. *Χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα οὐκ ἔχουσαν.* 2. *Τούτοις τοῖς μάρτυσιν οὐ πιστεύομεν· ἐχθροὶ γάρ εἰσι τοῦ φεύγοντος.* 3. *Τῶν Μήδων καὶ Περσῶν καλαὶ καὶ μεγάλαι γυναῖκες καὶ παρθένοι ἦσαν.* 4. *Ἡ παρὰ ταῖς ναυσὶ μάχη τῶν Τρώων καὶ Ἀχαιῶν δεινοτάτη ἦν.* 5. *Ἐν τῇ παρὰ Σαλαμῖνι μάχῃ αἱ τῶν Ἑλλήνων νῆες ἐναντίαι ἦσαν ταῖς τῶν Περσῶν ναυσίν.* 6. *Προσώπου τὰ μόριά ἐστι στόμα τε καὶ ῥὶς καὶ ὀφθαλμοὶ καὶ ὦτα.*

1. Die schlechten Reden haften nicht in den Ohren. 2. Eine schlechte Seele in einem schönen Körper vergleichen wir mit einem schlechten Steuermanne in einem schönen Schiffe. 3. Die Zeugnisse der Zeugen sind oft unzuverlässig. 4. Die Steuerleute richten die Schiffe. 5. Die Augen und die Ohren bringen den Menschen Vergnügen. 6. Die Esel haben lange Ohren.

85.

Koch § 32. Einübung von *οἱ πρέσβεις* die Gesandten, *τὸ ὕδωρ* das Wasser und *ἡ χείρ* die Hand.

1. *Οἱ κροκόδειλοι νυκτὸς ἐν ὕδατι διατρίβουσι.* 2. *Φαρνάβαζος καὶ οἱ πρέσβεις τῆς Φρυγίας ἐν Γορδίῳ ὄντες τὸν χειμῶνα τὰ περὶ τὸ Βυζάντιον ἤκουσαν.* 3. *Κῦρος Φαρνάβαζον ἐκέλευσεν τοὺς πρέσβεις μήπω οἴκαδε ἀποπέμψαι, βουλόμενος κρύπτειν τοὺς Ἀθηναίους τὰ πραττόμενα.* 4. *Τῷ ἀνθρώπῳ ἐστὸν δύο ὦτε, δύο χεῖρε, δύο πόδε, μία ῥίς, ἓν στόμα.*

1. Dem Wasser ist das Feuer entgegengesetzt. 2. Es war schwierig die Waffen in dem Wasser zu halten (*ἔχειν*). 3. Die Gesandten werden überall für heilig und unverletzlich gehalten. 4. Sisyphus wälzt im Hades mit

dem Kopfe und den Händen einen Felsblock. 5. Mit den Händen arbeiten wir, mit den Füssen gehen wir, mit den Augen sehen wir, mit den Ohren hören wir, mit den Nasen riechen wir. 6. Als die Soldaten des Cyrus den Euphratfluss durchschritten, sagten die Bewohner von Thapsakus, dass dieser Fluss niemals durchschreitbar war, wenn nicht damals, sondern (immer nur) auf Schiffen.

86.

Koch § 32, 1. 3—4. Einübung von *μέλας* schwarz, *χαρίεις* anmutig, *ἑκών* freiwillig und *ἄκων* ungern.

1. *Ἐν Ἅιδου ἦσαν δικασταὶ δύο, Μίνως τε καὶ Ῥαδάμανθυς, οἳ τοὺς νεκροὺς ἔκρινον.* 2. *Σταγόνες ὕδατος πέτρας κοιλαίνουσι.* 3. *Ἐν τῇ τῶν μακάρων νήσῳ πηγαὶ ἦσαν ἄλλαι μὲν ὕδατος, ἄλλαι δὲ μέλιτος.* 4. *Οἱ Ἀθηναῖοι ἐν Μαραθῶνι ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς τῶν βαρβάρων μυριάδας διεκινδύνευσαν.* 5. *Χαρίεσσά ἐστιν ἡ τῆς ἀηδόνος φωνή.* 6. *Ἐλευθέρου ἀνδρός ἐστιν ἄκοντα μηδὲν πράττειν.* 7. *Εἰ ἄκων ἁμαρτάνεις, ἄκοντα τοίνυν καὶ κολάζω σε.*

1. Von den Speisen war bei den Spartanern am meisten berühmt die schwarze Suppe. 2. Das Angenehme (plur.) halten die Menschen oft für gut. 3. Die Guten thun das Gute nicht unfreiwillig, sondern freiwillig. 4. Die Bienen gehorchen immer freiwillig einem Führer.

87.

Koch § 33, 1. 3—4.

1. *Ὁ μέλας οἶνός ἐστι θρεπτικώτατος, ὁ δὲ λευκὸς λεπτότατος.* 2. *Ποσειδώνιος λέγει τὰς ἐν Ἰβηρίᾳ κορώνας μὴ μελαίνας εἶναι.* 3. *Διάφορόν ἐστι τὸ τῶν ἀνθρωπίνων σωμάτων χρῶμα· μέλανες μὲν οἱ Αἰθίοπές εἰσι καὶ οἱ Ἰνδοί, λευκοὶ δὲ οἱ τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ἔνοικοι, πυῤῥοὶ δὲ οἱ Σκύθαι.*

1. Sicilien war eine wohlhabende *(εὐδαίμων)* und bevölkerte Insel. 2. Die Erinnerung (das Andenken) an die Guten ist unvergänglich. 3. Hege nicht ewige (unsterbliche) Feindschaft, da (partic.) du sterblich bist. 4. Die Jünglinge und die Greise sind vergesslich.

88.

1. Πλούσιοί εἰσιν οἱ τῶν ἐπιθυμιῶν πένητες. 2. Οἱ πατέρες ὄλβιοί εἰσιν, εἰ οἱ υἱοί εἰσι σώφρονες. 3. Θεὸς ἀνθρώποις σώφροσι μὲν φίλος, τοῖς δ' ἄγαν ὑπέρφροσι κολαστής. 4. Ἄφρονος στρατηγοῦ ἐστι μετ' ὀλίγων στρατιωτῶν ἐπὶ μέγα στράτευμα μάχεσθαι. 5. Οἱ Ἀθηναῖοι καὶ ἐν δεινοῖς ἦσαν εὐέλπιδες.

1. Die Lüste zwar sind sterblich, die Tugenden aber unsterblich. 2. Glaube nicht, dass ein Mensch in allen Stücken und die ganze Zeit hindurch glücklich sei. 3. Aristides und Sokrates und Epaminondas und viele andere berühmte Männer waren arm.

89.

Koch § 35, 1—2. Komparation der Adjektiva.

1. Ἀρετῆς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι. 2. Οὐδὲν ὀργῆς ἀδικώτερον. 3. Σοφία πλούτου κτῆμα τιμιώτερόν ἐστιν. 4. Ἡ Ἀφροδίτη χαριεστάτη ἦν πασῶν θεῶν. 5. Δόξα ἦν τῶν παλαιῶν τὸν μέλανα οἶνον εἶναι θρεπτικώτατον, τὸν δὲ λευκὸν λεπτότατον. 6. Τῶν πολιτῶν τῶν ἐνδοξοτάτων καὶ ἐπισημοτάτων οἱ Ἀθηναῖοι τοὺς μὲν ἐφυγάδευον, τοὺς δὲ ἐφόνευον.

1. Sehr lang sind die Nächte des Winters. 2. Keiner der Athener war gerechter als Aristides, keiner weiser als Sokrates. 3. Die Greise sind schwächer als die Jünglinge. 4. Die Äthiopier sind schwärzer als die anderen Menschen. 5. Die Männer sind stärker als die Weiber. 6. Die Griechen sagten, dass die Äthiopier die frömmsten aller Menschen seien.

90.

Koch § 35, 3—5. Komparation der Adjektiva.

1. Ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ ἐπέταξε παιδεύεσθαι τοὺς νεωτέρους ὑπὸ τῆς τῶν γεραιτέρων ἐμπειρίας. 2. Ἡ τῶν Λακεδαιμονίων δίαιτα ἁπλουστέρα ἢ τῶν ἄλλων Ἑλλήνων ἦν. 3. Τῷ Προξένῳ οἱ μὲν καλοί τε καὶ ἀγαθοὶ τῶν συνόντων εὐνούστατοι ἦσαν, οἱ δὲ ἄλλοι ἐπεβούλευον ὡς εὐμεταχειρίστῳ ὄντι. 4. Κῦρος τῇ μητρὶ φίλτερος ἦν Ἀρταξέρξου. 5. Δαρείου καὶ Παρυσάτιδος γίγνονται δύο, πρεσ-

βύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. 6. *Κῦρος αἰδημονέστατος μὲν τῶν ἡλικιωτῶν ἦν, ἔπειτα δὲ φιλιππότατος καὶ φιλοθηρότατος καὶ πρὸς τὰ θηρία φιλοκινδυνότατος ἦν.* 7. *Οἱ τῶν βαρβάρων στρατιῶται ἁρπαγίστατοι ἐν τοῖς πολέμοις ἦσαν.*

1. Der Ruhm ist ein schwacher Anker, der Reichtum ein noch schwächerer. 2. Die Frömmsten sind die glücklichsten. 3. In dem Unglück (plur.) sind die Menschen oft besonnener als im Glücke (plur.). 4. Die Schwalben zwar sind sehr schwatzhaft, von den Menschen aber sind viele schwatzhafter als die Schwalben.

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 77.

91.

Μετὰ δὲ ταῦτα θάψας τοὺς νεκροὺς ὁ Ἀλέξανδρος ἐπὶ τὴν Λυκίαν καὶ Παμφυλίαν ἐπορεύετο. Καὶ πρῶτον μὲν ἐν παρόδῳ Ὕπαρνα, χωρίον ὀχυρόν, φυλακὴν ἔχον ξένους μισθοφόρους, ἐξ ἐφόδου λαμβάνει· τοὺς δὲ ἐκ τῆς ἄκρας ξένους ὑποσπόνδους ἀπέπεμψε. Ἔπειτα δὲ ἐς Λυκίαν εἰσβάλλει καὶ προσάγεται Τελμισσὸν καὶ ἄλλα πολίσματα εἰς τριάκοντα ὁμολογίᾳ. Ταῦτα δὲ διαπραξάμενος ἐν ἀκμῇ ἤδη τοῦ χειμῶνος εἰσβάλλει εἰς Μιλυάδα, ἣ χώρα τῆς μεγάλης Φρυγίας ἦν. Καὶ ἐνταῦθα Φασηλιτῶν πρέσβεις ἧκον περὶ φιλίας, καὶ πρὸς τούτους σπένδεται ὁ Ἀλέξανδρος. Ἐντεῦθεν δὲ ἐξελαύνει καὶ λαμβάνει βίᾳ Ἄσπενδον τῆς Παμφυλίας καὶ Σαγαλασσόν, τοὺς Πισίδας τρεψάμενος.

92.

Fortsetzung.

Οἱ δὲ Πισίδαι βάρβαροι ἦσαν μάχιμοι καὶ πολεμικοί· καὶ γυμνοὶ ὄντες, ἐπεὶ ἐν χερσὶν ἦν ἡ μάχη, τοῖς ὁπλίταις προσεφέροντο καὶ πάντῃ τιτρωσκόμενοι ἔπιπτον, ἐνταῦθα δὴ ἐγκλίνουσι. Κοῦφοι δὲ ὄντες καὶ ἔμπειροι τῶν χωρίων οὐ χαλεπῶς διέφευγον· καὶ οἱ Μακεδόνες διὰ βαρύτητα

τῶν ὅπλων καὶ ἀπειρίαν τῶν ὁδῶν οὐ θαῤῥαλέοι ἐς τὸ διώκειν ἦσαν. Ἐντεῦθεν ὁ Ἀλέξανδρος τοὺς Πισίδας καταστρεψάμενος ἐπορεύετο ἐπὶ Φρυγίαν παρὰ τὴν λίμνην, ᾗ ὄνομα Ἀσκανία· καὶ ἧκεν εἰς Κελαινὰς πεμπταῖος.

93.

Fortsetzung.

Ἐν δὲ ταῖς Κελαιναῖς ἄκρα ἦν πάντη ἀπότομος, καὶ ἐν ταύτῃ ἦσαν Κᾶρες μὲν χίλιοι, Ἕλληνες δὲ μισθοφόροι ἑκατόν. Καὶ οὗτοι ἐπρεσβεύσαντο πρὸς Ἀλέξανδρον λέγοντες, εἰ μὴ βοήθεια παρέσται ἑξήκοντα ἡμερῶν, ὅτι αὐτὸν εἰς τὸ χωρίον εἰσδέξονται. Καὶ πρὸς μὲν δὴ ταῖς Κελαιναῖς φυλακὴν καταλείπει στρατιώτας εἰς χιλίους καὶ πεντακοσίους· αὐτὸς δὲ ἐπὶ Γόρδιον τὸ ἄλλο στράτευμα ἦγεν. Τὸ δὲ Γόρδιον ἔστι μὲν τῆς Φρυγίας τῆς ἐφ᾽ Ἑλλησπόντου, κείμενον ἐπὶ τῷ Σαγγαρίῳ ποταμῷ· τοῦ δὲ Σαγγαρίου αἱ μὲν πηγαὶ ἐκ Φρυγίας εἰσίν, αὐτὸς δὲ διὰ τῆς Θρᾳκῶν τῶν Βιθυνῶν χώρας φέρεται καὶ ἐμβάλλει εἰς τὸν Εὔξεινον πόντον.

94.

Fortsetzung.

Ἐνταῦθα καὶ Ἀθηναίων πρεσβεία παρ᾽ Ἀλέξανδρον ἧκεν, δεομένη Ἀλεξάνδρου τοὺς ἑαυτῶν αἰχμαλώτους, οὓς Ἀλέξανδρος μετὰ τὴν ἐπὶ τῷ Γρανικῷ ποταμῷ μάχην ἐν πέδαις εἰς τὴν Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι, ἀπολῦσαι τῶν δεσμῶν. Ὁ δὲ Ἀλέξανδρος τότε μὲν τοὺς τῶν Ἀθηναίων αἰχμαλώτους οὐκ ἀπέλυσε βουλόμενος τοὺς Ἀθηναίους ἐν φόβῳ εἶναι, ἔτι ὄντος τοῦ πρὸς τὸν Πέρσην πολέμου, ἵνα μὴ νεωτερίσωσιν, ὕστερον δὲ ἔφη ἥκειν αὐτοὺς ὑπὲρ τῶν αὐτῶν πρεσβευομένους. Ὅτε δὲ ἐν Γορδίῳ ἦν, πόθος Ἀλέξανδρον λαμβάνει ἀναβαίνειν εἰς τὴν ἄκραν, ἵνα καὶ τὰ βασίλεια ἦν τὰ Γορδίου καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου, καὶ αὐτόπτην εἶναι τῆς τοῦ Γορδίου ἁμάξης καὶ τοῦ δεσμοῦ τοῦ ζυγοῦ αὐτῆς. Λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης παρὰ τοῖς ἐπιχωρίοις ἦν, Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα καὶ γεωργόν. Τούτῳ δὲ ἐργαζομένῳ ποτὲ ἐν τοῖς ἀγροῖς ἀετὸν πέμψαι Δία προαγγέλλοντα τὴν βασιλείαν.

95.

Fortsetzung.

Ἦν δὲ τῷ Γορδίῳ παῖς Μίδας ὄνομα, καλὸς τὸ σῶμα καὶ ἀνδρείᾳ ἐπιφανής. Καὶ πολὺ ὕστερον στασιάζουσι τοῖς Φρυξὶν χρησμὸς γίγνεται, ὅτι ἅμαξα ἄξει αὐτοῖς τὸν βασιλεύσοντα, καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν διαφοράν. Ἔτι δὲ περὶ τούτων βουλευομένων αὐτῶν, προσελαύνει ὁ Μίδας σὺν τῷ τε πατρὶ καὶ τῇ μητρί. Καὶ οἱ μὲν Φρύγες αὐτὸν κελεύουσι βασιλεύειν, ὁ δὲ βασιλεύσας καταπαύει αὐτοῖς τὴν διαφοράν. Τὴν δὲ Γορδίου ἅμαξαν ἀπὸ τούτου τοῦ χρόνου διεφύλαττον οἱ ἐπιχώριοι ἐν τῇ ἄκρᾳ, μνῆμα τοῦ πράγματος. Ἐμυθεύετο δὲ καὶ τόδε περὶ τῆς ἁμάξης, ὅστις λύσειε τοῦ ζυγοῦ τὸν δεσμόν, τοῦτον ἄρξειν τῆς Ἀσίας. Ὁ δὲ Ἀλέξανδρος, λύειν τὸν δεσμὸν οὐκ ὢν δυνατός, διέκοψεν αὐτὸν τῇ κοπίδι.

96.

Koch § 36. cf. 26, 6. Komparation auf *ιων*, *ιστος*.

1. *Πλάτων λέγει, τὸ τῶν ἀκουσμάτων ἥδιστον εἶναι τὴν ἀλήθειαν.* 2. *Οὐκ ἔστιν οὐδὲν μητρὸς ἥδιον τέκνοις.* 3. *Οἱ τῶν τελετῶν μετέχοντες περὶ τῆς τοῦ βίου τελευτῆς ἡδίονας τὰς ἐλπίδας ἔχουσι.* 4. *Κακουργότατόν ἐστι μὴ μόνον τὸν οἶκον διαφθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.* 5. *Οἱ ἔπαινοι παρὰ τῶν ἐλευθεριωτάτων ἥδιστοί εἰσι.* 6. *Σωκράτης ἔφη, τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους ἄνευ παιδείας κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι.* 7. *Νέος ὢν ἀκούειν τῶν γεραιτέρων θέλε.*

1. Vielen zwar ist die Schmeichelei angenehmer als die Wahrheit, allen aber sind die Früchte der Wahrheit angenehmer als die der Schmeichelei. 2. Nichts ist süsser als das Vaterland. 3. Der tiefste Schlaf ist der angenehmste. 4. Wer ist schlechter als ein Verräter des Vaterlandes? 5. Nichts ist ungerechter als der Ruf.

97.

Koch § 37, 1—4. Komparation von *ἀγαθός*, *κακός*, *μέγας*, *μικρός* und *ὀλίγος*.

1. *Κρεῖττόν ἐστι μετ᾽ ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακούς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι.* 2. *Ὁ κροκόδειλος ἐξ ἐλαχίστου γίγνεται μέγιστος.* 3. *Δίκαιόν ἐστι τὸν ἀμείνονα τοῦ χείρονος ἄρχοντα εἶναι.* 4. *Γνῶμαι τῶν γεραιτέρων ἀμείνονές εἰσι τῶν νεωτέρων· ἀρίστων δ᾽ ἀνδρῶν ἄριστα βουλεύματα.* 5. *Τῶν εἰς Ἴλιον στρατευσαμένων αἱ μὲν μέγισται νῆες τῶν Βοιωτῶν, αἱ δὲ ἐλάχισται τοῦ Φιλοκτήτου ἦσαν.* 6. *Δαίδαλος ἀρχιτέκτων κράτιστος ἦν καὶ πρῶτος ἀγαλμάτων εὑρετής.* 7. *Κολακεία τῶν ἄλλων κακῶν χείριστόν ἐστι τοῖς μὲν ἄλλοις ἀνθρώποις ἅπασι, μάλιστα δὲ τοῖς ἄρχουσιν.* 8. *Ἄδικόν ἐστι τοὺς χείρονας τῶν βελτιόνων ἄρχειν.*

1. Neid ist besser als Mitleid. 2. Der Tod ist den Schlechtesten und den Besten gemeinsam. 3. Nicht das längste Leben ist das beste, sondern das rechtschaffenste. 4. Die Lacedämonier schämten sich vor den Greisen nicht weniger als vor Vätern.

98.

Koch § 37, 5—11. Komparation von *πολύς, ῥᾴδιος, ἐχθρός, αἰσχρός, καλός, ταχύς* und *ἀλγεινός*.

1. *Ἔχθιστος καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμος.* 2. *Ἡ ἄγνοια πολλῶν κακῶν αἰτία· ὅταν δὲ ᾖ περὶ τὰ μέγιστα, τότε κακουργοτάτη καὶ αἰσχίστη.* 3. *Οὐ μόνον ἀνδρειότατον καὶ ἰσχυρότατον εἶναι μεγάλη ἦν δόξα παρὰ τοῖς Ἕλλησιν, ἀλλὰ καὶ τάχιστον.* 4. *Οἱ νόμοι πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιοί εἰσι τῷ βίῳ τῷ τῶν ἀνθρώπων.* 5. *Ἀλγεινότερόν ἐστι τοῦ πένεσθαι τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλόν.* 6. *Μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα τοῖς πολίταις συμβούλευε.*

1. Nichts ist dem Menschen sowohl verhasster als angenehmer als der Mensch. 2. Keiner der Achäer war jünger noch schneller an den Füssen (dat.) noch stärker als Antilochus, der Sohn des Nestor. 3. Die Stuten des Laomedon waren schneller als Habichte. 4. Die Weisheit ist das allerschönste, die Unwissenheit aber das allerschimpflichste. 5. Für einen Menschen ist es leichter über alle anderen Geschöpfe zu herrschen als über Menschen. 6. Das Grössere ist nicht immer das Bessere.

99.

Koch § 39. Die Kardinalzahlen.

1. *Πρόξενος παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους· Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλίτας ἔχων χιλίους· Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους.* 2. *Καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος, φυγάς, ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους.* 3. *Ἦσαν οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ δισχίλιοι.* 4. *Ἐνταῦθα καὶ οἱ παρ' Ἀβροκόμα* (dor. gen.) *μισθοφόροι Ἕλληνες ἧκον παρὰ Κῦρον, τετρακόσιοι ὁπλῖται, καὶ συνεστρατεύοντο ἐπ' Ἀρταξέρξην.* 5. *Οἱ ἕνδεκα, ἀρχή τις παρὰ τοῖς Ἀθηναίοις, ἐπιστάται τῶν δεσμωτηρίων καὶ φύλακες τῶν τοῦ θανάτου καταδίκων ἦσαν.* 6. *Τὰ δὶς ἑπτὰ τεσσαρακαίδεκά ἐστι.*

1. Von dort zieht Cyrus weiter einen Tagemarsch, fünf Parasangen, zu den Thoren Ciliciens und Syriens. 2. Die Zahl des ganzen Weges war 215 Tagemärsche, 1155 Parasangen. 3. Platää liegt von Theben 70 Stadien entfernt. 4. Anacharsis sagt, dass es besser sei einen Freund zu haben, der viel wert sei, als viele, die nichts wert seien. 5. Die Zahl der Schiffe des Xerxes betrug 1207. 6. Von dem Flusse Mäander marschiert Cyrus durch Phrygien einen Tagemarsch, acht Parasangen, nach Kolossä.

100.

Koch § 39. Die Ordinalzahlen.

1. *Ὁ μὲν δεύτερος ἐπὶ τοὺς Καρχηδονίους πόλεμος πάντων δεινότατος καὶ ἐπικινδυνότατος ἦν τοῖς Ῥωμαίοις, ὁ δὲ τρίτος Καρχηδονιακὸς τοῖς Καρχηδονίοις δυστυχέστατος.* 2. *Ἡ ἐν ταῖς Θερμοπύλαις μάχη ἦν ἐν τῷ ὀγδοηκοστῷ καὶ τετρακοσιοστῷ ἐνιαυτῷ, ἢ ἐν τῷ τετάρτῳ ἐνιαυτῷ τῆς τετάρτης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος.* 3. *Ὁ Θαργηλιὼν παρὰ τοῖς Ἀθηναίοις ἦν μὴν ἑνδέκατος.*

1. Alcibiades war im siebzehnten Jahre des peloponnesischen Krieges Feldherr der Athener. 2. Der erste König der Perser war Cyrus, der zweite Kambyses, der dritte Darius, der Sohn des Hystaspes. 3. Pythagoras blühte um (*κατά* c. acc.) die sechzigste Olympiade.

101.

Koch § 39, 3.

1. Ἐπαύσατο τοῦ βίου Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, ἐπὶ Ἡγησίου ἄρχοντος, βιοτεύσας μὲν δύο καὶ τριάκοντα ἐνιαυτοὺς καὶ ὀκτὼ μῆνας, βασιλεύσας δὲ δώδεκα ἐνιαυτοὺς ταὶ ὀκτὼ μῆνας. 2. Τῷ δεκάτῳ ἐνιαυτῷ οἱ Ἀχαιοὶ τὸ Ἴλιον κατέλυσαν καὶ τὸν ὑπὲρ τῆς Ἑλένης πόλεμον κατέπαυσαν. 3. Τῷ τετάρτῳ τῆς ὀγδόης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος ἐνιαυτῷ Ἀρτάβανος ἐβουλεύσατο ἀποκτείνειν τὸν Ξέρξην, ὡς αὐτὸς βασιλεύσων ἀντ᾽ ἐκείνου.

1. Die Athener zogen am 62. Tage nach der Schlacht bei (ἐν) Tanagra gegen die Böoter zu Felde. 2. Als erster herrschte in Rom Romulus, als letzter aber Tarquinius Superbus. 3. Im dritten Jahre der 111. Olympiade zog Alexander gegen die Perser zu Felde zugleich mit Beginn des Frühlings.

102.

Koch § 40, 3 ἀλλήλοιν, αιν. § 40, 7 nebst Anmerkung 2. Die gebräuchlichsten Korrelativa:

τοσοῦτος (τοσόσδε), ὅσος — tantus, quantus.
τοιοῦτος (τοιόσδε), οἷος — talis, qualis.
τοσοῦτοι, ὅσοι — tot, quot.

1. Οἷος ὁ ἄρχων, τοιοῦτοι καὶ οἱ ἀρχόμενοι. 2. Σωκράτης ἔλεγεν· οἷος ὁ βίος, τοιοῦτος ὁ λόγος, καὶ οἷος ὁ λόγος, τοιοῦτος ὁ βίος. 3. Ἡ εὐσέβεια τοσοῦτον τῶν ἄλλων ἀρετῶν προέχει, ὅσον καὶ οἱ θεοὶ τῶν θνητῶν ἐν πᾶσι πρωτεύουσιν. 4. Οἷον τὸ ἔθος ἑκάστου, τοιόσδε ὁ βίος. 5. Οὗτος μὲν τοιαῦτα ἔφη· μετὰ δὲ τοῦτον ὁ στρατηγὸς ἔλεγε τοιάδε. 6. Ὁ Σωκράτης τοιαῦτα ἀεὶ περὶ τῶν θεῶν ἔλεγεν, οἷά τις λέγων εὐσεβέστατος νομίζεται.

1. Der Löwe und der Schakal sind einander feindlich. 2. Um wieviel besser die Seele ist als der Leib, um soviel erstrebenswerter sind auch die Wettkämpfe der Seele als die der Leiber. 3. Der Tod ist nichts anderes als die Trennung der Seele und des Körpers von einander. 4. Des Goldes und der Ehren und der Lüste und vieler anderer Dinge wegen stellen die Menschen

einander nach. 5. Krähen sind einander sehr treu. 6. Um wieviel weiser einer ist, um soviel besonnener ist er.

103.

Koch § 41, 1—7.

1. *Οἱ Πέρσαι τοὺς παῖδας τρία μόνα ἐπαίδευον, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθεύειν.* 2. *Ὡς θνητὸς ὢν τὸ σῶμα ἀπόλαυε τῶν μὲν ὄντων ἀγαθῶν, τὰ δὲ ἐσόμενα ἐπιτήδευε ὡς ἀθάνατος ὢν τὴν ψυχήν.* 3. *Ὁ θάνατος τῶν ἀνθρώπων τὰς φροντίδας καὶ ἐλπίδας παύει.* 4. *Ὁ τοῦ Σόλωνος νόμος ἐπαίνου ἐστὶν ἄξιος, ὃς κελεύει μὴ κακῶς ἀγορεύειν τοὺς νεκρούς.* 5. *Οὐδεὶς πιστεύσει τῷ τὸν ἑταῖρον κακῶς ἀγορεύσαντι, κἂν ἀληθεύῃ.* 6. *Πότερον νομίζεις αἱρετώτερον εἶναι, τὸν πατέρα ἢ τὸν φίλον;* 7. *Φεῦγε τὴν ὀργήν.*

1. O Knaben und Jünglinge, lasst uns die Väter und die Mütter und die Greise ehren. 2. Glaubet nicht den Schmeichlern. 3. Die Athener verbannten den Cimon, weil er dem Volke geraten hatte, mit den Lacedämoniern gegen die Heloten zu Felde zu ziehen. 4. Der Ruhm der Jünglinge sind die Wissenschaften. 5. Die Samier ernähren in dem Tempel der Hera Pfauen.

104.

Koch § 41, 8—11.

1. *Τοῖς Ἕλλησι βουλευσαμένοις φανερὸν ἦν, ἐπιπονωτέραν καὶ ἐπικινδυνοτέραν εἶναι ἄνευ Κύρου τὴν κάθοδον, ἢ τὸν πόλεμον, τοῦ Κύρου στρατεύσαντος.* 2. *Οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων οὐ σύμφωνοί εἰσιν ἀλλήλοις.* 3. *Οἱ Ἕλληνες ἐκ Τραπεζοῦντος πεντήκοντα καὶ τετρακόσια στάδια πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι ἧκον.* 4. *Τοὺς Ἀθηναίους ἔπεισαν οἱ Σωκράτην γραψάμενοι, ὡς ἄξιος εἴη τοῦ θανάτου.* 5. *Κἂν μόνος ᾖς, φαῦλον μήτε λέξῃς μήτε ἐργάσῃ μηδέν.* 6. *Ἐὰν ᾖς φιλομαθής, ἔσῃ πολυμαθής.* 7. *Οἷοι οἱ ἄρχοντες, τοιοῦτοι οἱ ἀρχόμενοι.*

1. Reichtum möchte ein sehr unzuverlässiger Besitz sein. 2. Schweigen ist oft wünschenswerter als Rede. 3. Die Perser lassen nicht Bilder und Altäre errichten,

opfern aber an einem hohen Orte. 4. Deswegen haben wir zwei Ohren und einen Mund, damit wir mehr hören, weniger reden. 5. Es ist möglich, dass die Menschen glücklich sind, auch wenn sie arm sind.

105.

Koch § 42 vollständig; Repetition von *παιδεύω*.

1. *Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.* 2. *Τὰς προσπιπτούσας τύχας γενναίως φέρε.* 3. *Ἀποτρέποιτε, ὦ θεοί, τὸ δεινὸν ἀφ' ἡμῶν.* 4. *Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον.* 5. *Τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.* 6. *Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.* 7. *Παρὰ Ἰνδῶν μόνων κομίζονται οἱ ψιττακοί.* 8. *Ὅστις ἄρχεται ὑπὸ τῶν τοῦ σώματος ἡδονῶν καὶ διὰ ταύτας μὴ πράττει τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι;*

1. Sisyphus, der Sohn des Aeolus, soll Korinth gegründet haben. 2. Vor denjenigen muss man sich am meisten hüten, die sich nicht einmal des Unrechts gegen (gen.) die Verwandten enthalten. 3. Die Aegineten schlugen (med.) zuerst Münzen. 4. Sprecht nicht, wer waret ihr früher, sondern wer seid ihr jetzt.

106.

Koch § 44. Repetition.

1. *Οἰδίπους ἔλυσε τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς λεγόμενον.* 2. *Ἡ μὲν τοῦ σώματος ἰσχὺς γηράσκει, ἡ δὲ τῆς ψυχῆς ῥώμη τῶν ἀγαθῶν ἀγήρατος διαμένει.* 3. *Κῦρός τε τοὺς ὑφ' ἑαυτῷ ὥσπερ ἑαυτοῦ παῖδας ἐθεράπευεν, οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο.* 4. *Οὐκ ἂν πράττοι μεγάλα ὁ μικρῶν φροντίζων.*

1. Dann herrscht ein Herrscher in Wahrheit nach Recht, wann (*ὅταν*) er selbst von den Gesetzen beherrscht wird. 2. Wir alle rasen, wann immer wir zürnen.

107.

Koch § 45 vollständig.

1. *Οὐδεὶς ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἐβούλετο πένης ὡς Ἀριστείδης εἶναι.* 2. *Ἀμφότεροι κλῶπές εἰσι καὶ ὁ δεξά-*

μενος καὶ ὁ κλέψας. 3. *Τῶν ἀνδρῶν λεγόντων σιγὴν ἐχόντων οἱ νεανίαι.* 4. *Ὁπόσα ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρτάνουσι, πάντα ἀκούσια ταῦτ' ἐγὼ νομίζω.*

1. Die Hellenen unternahmen vor den Zeiten des trojanischen Krieges nichts zusammen. 2. Die Älteren ziehen zwar nicht mehr ausserhalb des Landes zu Felde, zu Hause bleibend aber sprechen sie den Bürgern Recht.

108.

Koch § 46. Einübung des Perfekts und Plusquamperfekts Aktivi von *παιδεύω*.

1. *Ὅτε ὁ ἥλιος κατεδεδύκει, ὁ Λεωνίδας καὶ οἱ μετ' αὐτοῦ ἐν ταῖς Θερμοπύλαις ἐστράτευσαν ἐπὶ τοὺς Πέρσας.* 2. *Σαρδανάπαλος στολὴν γυναικείαν ἐνεδεδύκει.* 3. *Οὔπω πασῶν ἡμερῶν ἥλιος καταδέδυκε, τοῦτ' ἔστιν οὔπω πάντων πραγμάτων τελευτή ἐστιν.* 4. *Πίστευσον τῶν ἑταίρων τούτῳ, ὃς καλῶς βεβούλευκεν ἐν τοῖς χαλεποῖς πράγμασι.* 5. *Δόξα ἦν τοῖς Ἀθηναίοις, οὐ μικρὰν τυραννίδα Κόνωνα, τὴν τῶν Λακεδαιμονίων ἀρχὴν καταλύσαντα, πεπαυκέναι.* 6. *Πολλοὶ τῶν τῇ ἐλευθερίᾳ τῇ τοῦ δήμου ἐπιβεβουλευκότων γίγνονται χαλεπώτατοι τύραννοι.* 7. *Εὐμόλπου καὶ Ἀμαζόνων ἐπιστρατευσάντων ἐπὶ τὴν Ἀττικὴν χώραν καὶ τῶν ἔτι προτέρων ὡς οἱ Ἀθηναῖοι ὑπὲρ τῆς ἐλευθερίας ἐκινδύνευσαν, ποιηταὶ αὐτῶν ἱκανῶς εἰς πάντας μεμηνύκασι.*

1. Dion hat die Gewaltherrschaft des Dionysius gestürzt. 2. Den Cyrus hatte der Vater in den Gesetzen der Perser erzogen. 3. Der Dichter Homer hat Griechenland erzogen. 4. Die Perser haben die Knaben nur in dreierlei unterrichtet, zu reiten und mit dem Bogen zu schiessen und die Wahrheit zu reden. 5. Von den berühmten Philosophen haben nicht viele ihre Kinder gut erzogen.

109.

Koch § 46, 1—2. Einübung der Reduplikation.

1. *Ξενοφῶν ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς βούλεται ἄγειν τοὺς στρατιώτας πάλιν εἰς τὴν Κολχίδα.* 2. *Ἐν ταῖς περὶ πολιτείας διχοστασίαις πολλάκις πολῖται*

πολίτας πεφονεύκασιν. 3. *Οἱ Ἀθηναῖοι πεφυγαδεύκασιν Ἀριστείδην, ὅτι τῇ δικαιοσύνῃ πολὺ ἴσχυεν.*

1. Die Perser haben der Sonne und dem Monde wie Göttern geopfert 2. Es geht (ist) die Sage, dass Aeakus und Minos und Radamanthys nach ihrem Tode Beisitzer des Pluto und der Kore gewesen seien. 3. Als die Kundschafter dem Epaminondas angezeigt hatten, dass Agesilaus mit einem grossen Heere ausgezogen war, zog er selbst gegen Sparta zu Felde.

110.

1. *Νόμος ἦν παρὰ τοῖς παλαιοῖς Ἕλλησι, φονεύειν ὅστις ἄλλον ἐπεφονεύκει ἢ φυγαδεύειν ἐκ τῆς πατρίδος δι᾽ αἰῶνος.* 2. *Ἄλλοι πρὸς ἄλλα πεφύκασι.* 3. *Πρὸς Ἀριστόδημον οὔτε θύοντα τοῖς θεοῖς οὔτε τὰ πρὸς ἀνθρώπους διαφυλάττοντα Σωκράτης προτρέψων ἐπ᾽ ἀρετὴν ἔλεξεν· λέξον ἐμοὶ τὰ ὀνόματα τῶν ἀνθρώπων, οὓς τεθαύμακας ἐπὶ σοφίᾳ.*

1. Wie sorgsam haben die Götter hergerichtet, was die Menschen bedürfen! 2. Die Phönizier haben geglaubt (*πιστεύω*), dass die Geometrie von den Ägyptern zu den Hellenen gekommen sei, die Astronomie und die Arithmetik aber von den Phöniziern. 3. Die Athener haben die übrigen Griechen oft gerettet.

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 95.

111.

Ἀπὸ δὲ Γορδίου ὁ Ἀλέξανδρος ἐπορεύετο διὰ τῆς Γαλατικῆς καὶ τῆς Καππαδοκίας, καταστρεψάμενος δὲ πᾶσαν τὴν ἐντὸς τοῦ Ἅλυος ποταμοῦ χώραν καὶ ἔτι ὑπὲρ αὐτὸν πολλὴν προῆγεν ἐπὶ τὰς πύλας τὰς τῆς Κιλικίας καὶ τὴν τῶν πυλῶν φυλακὴν εἰς φυγὴν τρέψας κατέβαινεν εἰς τὴν Κιλικίαν. Ἐνταῦθα δὲ ἀγγέλλεται αὐτῷ, ὅτι Ἀρσάμης ὁ

τῶν Περσῶν σατράπης πρότερον μὲν ἐβούλετο διασώζειν τοῖς Πέρσαις τοὺς Ταρσούς, ἀκούσας δὲ τὸν Ἀλέξανδρον εἰς τὴν Κιλικίαν ἤδη καταβαίνοντα μέλλει ἀπέρχεσθαι παρὰ Δαρεῖον. Ταῦτα δὲ ἀκούσας δρόμῳ ἦγε τὴν στρατιὰν ἐπὶ τοὺς Ταρσούς, ὥστε ὁ Ἀρσάμης σπουδῇ φεύγει ἐκ τοῦ πολίσματος.

112.

Fortsetzung.

Μετὰ δὲ ταῦτα λέγουσιν Ἀλέξανδρον εἰς τὸν Κύδνον ποταμὸν ῥίψαντα αὑτὸν καὶ λουσάμενον· ψυχρὸς δέ ἐστι καὶ καθαρὸς τὸ ὕδωρ· σπασμῷ τε περιπίπτειν καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ. Καὶ οἱ μὲν ἄλλοι ἰατροὶ οὐκ ᾤοντο διασώσειν αὐτόν. Φίλιππος δὲ Ἀκαρνάν, ἰατρὸς συνὼν Ἀλεξάνδρῳ καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα πιστευόμενος καὶ τὰ ἄλλα οὐκ ἀδόκιμος ἐν τῷ στρατῷ ὤν, ἔλεγε σώσειν Ἀλέξανδρον φαρμάκῳ· καὶ Ἀλέξανδρος ἐκέλευσεν αὐτὸν σῶσαι.

113.

Fortsetzung.

Παρασκευάζοντος δὲ αὐτοῦ τὴν κύλικα, ἥκει ἐπιστολὴ παρὰ Παρμενίωνος, ἐν ᾗ ἐνῆν τάδε· Φύλαξει, ὦ Ἀλέξανδρε, Φίλιππον τὸν ἰατρόν. Ἀκούω γάρ, ὅτι προδότης ἐστὶ καὶ διεφθαρμένος χρήμασιν ὑπὸ Δαρείου, ἵνα σε ἀποκτείνῃ. Ταύτην μὲν οὖν τὴν ἐπιστολὴν ἀναγιγνώσκει ὁ Ἀλέξανδρος καὶ λαμβάνων τὴν κύλικα, ἐν ᾗ ἦν τὸ φάρμακον, κελεύει τὸν Φίλιππον ἀναγιγνώσκειν. Καὶ λέγουσιν ὁμοῦ τε τὸν Ἀλέξανδρον πίνειν καὶ τὸν Φίλιππον ἀναγιγνώσκειν τὰ παρὰ τοῦ Παρμενίωνος. Οὐ δὲ πολὺ ὕστερον Ἀλέξανδρον καὶ εἰς τὰ ἄλλα Φιλίππῳ πειθόμενον, ὅσα ἐπαγγέλλοιτο, ῥαΐσαι ἐκ τοῦ νοσήματος.

114.

Fortsetzung.

Koch § 42, 3 Anmerkung 1.

Μετὰ δὲ ταῦτα Ἀλέξανδρος Παρμενίωνα πέμπει ἐπὶ τὰς ἄλλας πύλας, αἳ ὁρίζουσι τὴν Κιλίκων τε καὶ Ἀσσυρίων χώραν, κελεύσας φυλάττειν τὴν πάροδον· αὐτὸς δὲ ἐκ Ταρσῶν ἧκεν εἰς Ἀγχίαλον, ἣν Σαρδανάπαλος ὁ Ἀσσύριος κτίσαι λέγεται, ἐκ δὲ τῆς Ἀγχιάλου εἰς Σόλους. Ἐντεῦθεν δὲ ἐπορεύετο εἰς Μαλλόν. Ἔτι δὲ ἐν Μαλλῷ ὄντι αὐτῷ ἀγγέλλεται Δαρεῖον ἐν Σώχοις σὺν πάσῃ τῇ στρατιᾷ στρατοπεδεύειν. Ὁ δὲ χῶρος οὗτος ἔστι μὲν τῆς Ἀσσυρίας, ἀπέχει δὲ τῶν πυλῶν τῶν Ἀσσυρίων εἰς δύο μάλιστα σταθμούς. Ἔνθα δὴ συνάγει τοὺς ἑταίρους καὶ φράζει αὐτοῖς τὰ ὑπὲρ Δαρείου τε καὶ τῆς στρατιᾶς τῆς Δαρείου. Οἱ δὲ αὐτόθεν ὡς εἶχεν ἄγειν ἐκέλευον. Ὁ δὲ τότε μὲν διέλυσε τὸν σύλλογον, τῇ δὲ ὑστεραίᾳ προῆγεν ὡς ἐπὶ Δαρεῖόν τε καὶ τοὺς Πέρσας.

115.

Fortsetzung.

Ἐπεὶ δὲ δευτεραῖος ἐστρατοπέδευε πρὸς Μυριάνδρῳ, τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον· τοῦτο κατεῖχεν ἐν τῷ στρατοπέδῳ Ἀλέξανδρον. Ἐν δὲ τούτοις Δαρεῖος σὺν τῇ στρατιᾷ διέτριβεν ἐπιλεξάμενος τῆς Ἀσσυρίας χώρας πεδίον τῇ τε στρατιᾷ ἐπιτήδειον καὶ τῇ ἵππῳ συμφέρον. Καὶ συνεβούλευσεν αὐτῷ ἐκεῖ διαμένειν Ἀλέξανδρον Ἀμύντας, αὐτόμολός τις παρ᾽ Ἀλεξάνδρου. Ὡς δὲ Ἀλεξάνδρῳ πολλὴ μὲν ἐν Ταρσοῖς διατριβὴ ἐπὶ τῇ νόσῳ ἐγίγνετο, οὐκ ὀλίγη δὲ ἐν Σόλοις, ἵνα ἔθυέ τε καὶ ἐπόμπευε, καὶ ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας μαχόμενος διέτριψεν, μεταβουλευσάμενος τὴν στρατιὰν εἰς Κιλικίαν προῆγε βουλόμενος μάχεσθαι ἐπὶ τοὺς Μακεδόνας· ἐνόμιζε γὰρ τὸν Ἀλέξανδρον ἐν φόβῳ ὄντα μηκέτι ἐθέλειν προάγειν τοῦ πρόσω. Ταῦτα δὲ ἀκούσας Ἀλέξανδρος μάλα ἔχαιρεν.

116.

Koch § 46, 3 c nebst Anmerk. Einübung des Perfekts und Plusquamperfekts Akt. von βλάπτω.

1. Θεὸς ἐν τοῖς τῶν ἀνθρώπων πάντα ἄριστα διατέταχεν. 2. Ὁ θεὸς τοῖς ἀνθρώποις τὸ μέλλον κεκάλυφεν· οἱ δὲ ἄνθρωποι χαλεπῶς φέροντες, τὸν θεὸν τὸ μέλλον κεκαλυφέναι, ἐκκαλύψαι αὐτὸ προθυμότατοί εἰσιν. 3. Οἱ

Θηβαῖοι εἰς τὴν τῶν Κορινθίων χώραν ἥκοντες τὰ δένδρα ἐκκεκόφασι. 4. *Ἀλέξανδρος τοὺς τὸν Δαρεῖον πεφονευκότας διώκων μυρίους σταδίους νυκτὸς καὶ ἡμέρας διεπορεύετο ἐφ' ἵππου.* 5. *Αἱ ἀρχαὶ κολάσουσι τοὺς ἐν ταῖς πολιτείαις νεωτερίσοντας.*

1. Pisistratus hat die meisten Gesetze des Solon aufrecht erhalten. 2. Perikles löste die Verbindung, welche ihm Thucydides entgegengestellt hatte, auf. 3. Die Athener haben sich lange Zeit bemüht den Inseln Asiens die Freiheit und Selbstständigkeit zu verschaffen.

117.

Koch § 46, 3 a u. b.

1. *Δαίδαλος ἀρχιτέκτων ὢν ἐν Κρήτῃ κατεσκεύασε τὸν Λαβύρινθον, πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ.* 2. *Τὸν μὲν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκαμεν, τὴν δὲ ζωὴν ὡς τῶν ἀγαθῶν μέγιστον ἀσπαζόμεθα.* 3. *Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' ἐς τοὺς τῶν λεγόντων λόγους ἀποβλέποιεν.* 4. *Τοῖς Ἴωσι μέγας ἦν φόβος, μὴ ὁ Δαρεῖος πᾶσαν τὴν Ἰωνίαν καταστρέψαιτο.*

1. Übt, o Söhne, den Körper; denn derjenige, welcher (partic.) den Körper übt, verschafft (*παρέχω*) auch der Seele Stärke. 2. Kornelia hat ihre Söhne so geliebt, dass sie dieselben ihr grösstes Kleinod nannte. 3. Thucydides hat den Krieg der Athener und Peloponnesier beschrieben. 4. Nichts möchte für einen Soldaten schimpflicher sein als geflohen zu sein.

118.

Koch § 46, 4—6. Repetition von 1—3.

1. *Ἀριστείδην τὸν Λυσιμάχου νενόμικα ἄριστον ἄνδρα ἐν Ἀθήναις καὶ δικαιότατον.* 2. *Οἱ στρατιῶται πολλὰ τῶν πολεμίων χρήματα ἔχουσιν ἡρπακότες.* 3. *Κικέρων, τῷ τε τῆς πατρίδος ἔρωτι καὶ τῇ τοῦ λέγειν δεινότητι καὶ τῇ τῆς Ἑλληνικῆς φιλοσοφίας ἐμπειρίᾳ ἐπισημότατος τῶν Ῥωμαίων, πολλὰ γράμματα καταλέλοιπεν.* 4. *Σαρδανάπαλος ὁ Ἀσσυρίων βασιλεὺς ἑαυτόν τε καὶ τὰ χρήματα ἐπὶ τὴν πυρὰν ῥίψας ταύτην ἐνῆψεν.*

1. Bei dem Gastmahle der Götter spielte Apollo die Cither, und die Musen sangen. 2. Der Pythagoreer Pherekydes rühmte sich, dass er keinem der Götter geopfert habe und um nichts weniger glücklich sei als diejenigen, welche (partic.) Hekatomben geopfert hätten. 3. Dädalus hatte dem Minos das Labyrinth eingerichtet. 4. Der Lakone Pasippidas hatte die Flotte von den Bundesgenossen gesammelt.

119.

Koch § 46. Einübung des Indik. Perf. Pass. und Medii: *πεπαίδευμαι, βέβλαμμαι, τέταγμαι* und *ἐσκεύασμαι*.

1. *Ἐπί τινος Αἰγύπτου ἱερᾶς βιβλιοθήκης ἐπιγέγραπται· ψυχῆς ἰατρεῖον.* 2. *Αἴσχιστον τοῖς Πέρσαις τὸ ψεύδεσθαι νενόμισται.* 3. *Ἡ Τύρος συνῆπται χώματι πρὸς τὴν ἤπειρον.* 4. *Ἐν τοῖς πρὸς Μήδους πολέμοις πολλὰ καὶ καλὰ ἔργα ὑπὸ τῶν Ἀθηναίων πέπρακται.*

1. Korinth ist von Lucius Mummius zerstört worden. 2. Das Schwarze Meer ist von den Milesiern besiedelt worden. 3. Chalcis und Eretria sollen vor den Zeiten des trojanischen Krieges von den Athenern gegründet worden sein. 4. Nicht für uns alle sind dieselben Gesetze geschrieben worden.

120.

Koch § 46. Einübung der Modi des Perfekts Pass. und Medii.

1. *Πολλὰ ἀγάλματα ἐν Ἀθήναις ἱδρῦσθαι λέγονται.* 2. *Οἱ Μοσσύνοικοι βαρβαρικώτατοί εἰσι καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένοι.* 3. *Σὺ μέν, ὦ Γοργία, ὡς ἐμοὶ φαίνεται, τετάραξαι, εἰ ἡ ἀρετὴ διδακτὸν ἢ οὐ διδακτόν· τοὺς οὖν οὕτω τεταραγμένους περὶ ὁτουοῦν νομίζοιμι ἂν οὐ δικαίως διδασκάλους εἶναι.* 4. *Χαβρίας, πολλῶν καὶ καλῶν αὐτῷ (= ὑπ' αὐτοῦ) πεπραγμένων κατὰ πόλεμον, μάλιστα ἐπὶ τῷ στρατηγήματι ἐθαυμάζετο, ᾧ τὸν Ἀγησίλαον συντεταγμένῃ τῇ στρατιᾷ προάγοντα ἐπὶ τοὺς Βοιωτοὺς τὰ ἐναντία στρέψαι ἠνάγκασεν.* 5. *Νικίας, ὁ τῶν Ἀθηναίων ἐν Σικελίᾳ στρατηγός, παρεκελεύσατο τοῖς*

στρατιώταις τε καὶ τοῖς ναύταις, μὴ ἐκπεπλῆχθαί τι ταῖς συμφοραῖς ἄγαν.

1. Einem jeden von denjenigen, welche (partic.) den Staat verwalten, soll irgend ein Werk aufgetragen sein (imperat. perf. pass.), den einen Recht zu sprechen, den anderen zu regieren, den anderen das Aufgetragene zu vollbringen. 2. Diejenigen, welche (partic.) überredet worden sind, überreden auch andere.

121.

Koch § 46. Einübung des Plusquamperfekts und Futuri exacti Passivi.

1. *Ἀεὶ προστετάξεται τοῖς γεραιτέροις τῶν νεωτέρων ἄρχειν.* 2. *Φίλος ἡμῶν οὐδεὶς λελείψεται, ἀλλὰ καὶ οἱ πρόσθεν ὄντες πολέμιοι ἡμῖν ἔσονται.* 3. *Ὡς Ξέρξης πάντα ἡτοίμαστο τὰ πρὸς τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, ἐξέπεμψε κήρυκας εἰς τὴν Ἑλλάδα.* 4. *Κόνων ἔφευγεν εἰς Μυτιλήνην τῆς Λέσβου ταῖς ναυσί, ταχίσταις οὔσαις διὰ τὸ ἐκ πολλῶν πληρωμάτων ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας.*

1. In den Gesetzen des Drakon war für (dat.) alle diejenigen, welche (partic.) fehlten, eine Strafe festgesetzt (worden), der Tod, so dass man sagte, sie seien mit (*διά* c. gen.) Blut geschrieben worden. 2. Alexander besiedelte die Vaterstadt des Aristoteles, welche von Philipp zerstört worden war.

122.

Koch § 46, 7—8, 9 mit Anmerk. § 47. Einübung des Ind. Aor. I Pass. von *παιδεύω*.

1. *Ἀλκιβιάδης ὑπὸ τοῦ πρώτου τῶν Ἀθηναίων ἐπετροπεύθη καὶ καλῶς ἐπαιδεύθη· ὕστερον δὲ ὑπὸ τῶν πολιτῶν ἐφυγαδεύθη.* 2. *Τῶν Μακεδονικῶν στρατιωτῶν, οἳ ἐπὶ φυλακῇ τῆς Σκυθίας ἦσαν, πολλοὶ ὑπὸ τῶν Σκυθῶν ἐφονεύθησαν.* 3. *Πολλαὶ μὲν δημοκρατίαι κατελύθησαν ὑπὸ τυράννων, πολλοὶ δὲ τύραννοι ὑπὸ τοῦ δήμου ἐφονεύθησαν ἢ ἐφυγαδεύθησαν.* 4. *Παυσανίας ὡς τοῖς πολίταις ἐπιβουλεύων ὑπ' Ἀργιλίου τινὸς ἐμηνύθη.* 5. *Ἡ ἐν Ἀθήναις ἀγορὰ ὑπὸ Κίμωνος πλατάνοις κατεπεφύτευτο.*

1. Themistokles und Aristides wurden zusammen erzogen. 2. Die Gewaltherrschaft des Pisistratus wurde

von den Lacedämoniern gestürzt. 3. Pyrrhus wurde von seinen Soldaten der Adler genannt. 4. Die beiden Söhne des Xenophon, Gryllus und Diodorus, waren in Sparta erzogen worden.

123.

Koch § 47. Bildung des Aor. I Pass. nach der Übersicht. § 47, 1—2.

1. *Κῦρος ἥσθη τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον αἰσθανόμενος.* 2. *Πτολεμαίου τοῦ Φιλοπάτορος βασιλεύοντος, καὶ Ὁμήρῳ νεὼς ἐν Ἀλεξανδρείᾳ ἱδρύθη.* 3. *Τῶν Ἑλλήνων διαβαινόντων τὸν ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μασθῶν ὑπὸ τοῦ ποταμοῦ.* 4. *Κῦρος κατεπέμφθη ὑπὸ Δαρείου τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας καὶ Καππαδοκίας.* 5. *Οἱ πλεῖστοι τῶν Ἑλλήνων ὑπὸ Κύρου ἐπείσθησαν αὐτῷ ἕπεσθαι καὶ συστρατεύειν ἐπὶ τὸν Ἀρταξέρξην.* 6. *Οἱ βάρβαροι ἐταράχθησαν καὶ φεύγοντες ἐδιώχθησαν ὑπὸ τῶν Ἑλλήνων.*

1. Von dort zieht Cyrus aus zwei Tagemärsche, zehn Parasangen, an den Fluss Psarus, dessen Breite drei Plethren betrug. Von dort zieht er aus einen Tagemarsch, fünf Parasangen, an den Fluss Pyramus, dessen Breite ein Stadium betrug. Von dort zieht er aus zwei Tagemärsche, fünfzehn Parasangen, nach Issus in Cilicien, einer grossen und wohlhabenden Stadt. Daselbst bleiben sie drei Tage, und es kamen (*πάρειμί τινι*) zu dem Cyrus die Schiffe aus dem Peloponnes, fünf und dreissig, und auf ihnen als Admiral der Lacedämonier Pythagoras.

124.

Koch § 47. Die Modi des Aor. 1 Pass. von *παιδεύω*. Particip nach § 26.

1. *Κῦρος κινδυνεύσας καὶ ἀτιμασθεὶς βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλὰ βασιλεύσει ἀντ᾽ ἐκείνου.* 2. *Κῦρος ἐκέλευσε τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην τάττεσθαι, οὕτω ταχθῆναι, συντάξαι δὲ ἕκαστον τῶν στρατηγῶν τοὺς ἑαυτοῦ. Ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.* 3. *Ἐὰν μείζων ἡ πρᾶξις τῆς πρόσθεν*

φαίνηται καὶ ἐπιπονωτέρα καὶ ἐπικινδυνοτέρα, δίκαιον εἶναι νομίζω Κῦρον ἢ πείσαντα ἡμᾶς ἄγειν ἢ πεισθέντα πρὸς φιλίαν ἀποπέμψαι.

1. Daselbst befand sich ein Königsschloss des Belesys, der über Syrien geherrscht hatte, und ein sehr grosser und schöner Park, der alles enthielt (*ἔχω*), was die Jahreszeiten hervorbringen. 2. In Pasargadä war ein Grab des Cyrus, auf welchem aufgeschrieben war: O Mensch, ich bin Cyrus, der den Persern die Herrschaft gründete und über Asien herrschte; beunruhige mir also nicht das Denkmal.

125.

1. *Εἴ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον.* 2. *Ἀπολύθητι δουλείας αἰσχρᾶς· ἔσῃ δὲ ἐλεύθερος, ἐὰν ἀπολυθῇς ἐπιθυμίας.* 3. *Οἱ Καρχηδόνιοι κολουθέντες ταῖς τῶν Ῥωμαίων νίκαις ταῖς ἐν Σικελίᾳ καὶ Ἰβηρίᾳ καὶ Λιβύῃ τοῦ πολέμου ἐπαύσαντο.* 4. *Οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ τελευταῖοι ὑπὸ τῶν Λακεδαιμονίων κατελύθησαν.* 5. *Ὅτε τῷ Ἀγησιλάῳ, ἐξεστρατευμένῳ εἰς Μαντίνειαν, ὑπὸ Κρητός τινος ἐμεμήνυτο, ὅτι ἡ Σπάρτη τῷ τοῦ Ἐπαμεινώνδου στρατεύματι ἐπιβουλευθείη, αὖθις ἐπορεύθη εἰς τοὺς ἀντιπάλους καὶ ἀπέλυσε τὴν πατρίδα τοῦ κινδύνου.*

1. Antonius hielt Rat, damit Alexander der Herrschaft entsetzt würde. 2. Auch du, o Freund, gehorche; denn das Gehorchen ist besser. 3. Wenn der Schlechte Unglück haben wird, dann wird alles genau enthüllt werden. 4. Die begabtesten und kräftigsten der Menschen, von Kindheit an schön geleitet (*ἄγω*), werden die besten und nützlichsten; ungebildet aber werden sie die schlechtesten und schädlichsten.

126.

Koch § 47. Einübung des Fut. I Pass. von *παιδεύω*. § 47, 3.

1. *Πολλὰ μὲν τοῖς ἀνθρώποις ἀνέλπιστα πράττεται, πολλὰ δὲ πέπρακται, πολλὰ δὲ πραχθήσεται.* 2. *Οἱ ἐν*

Ἅιδου δικασταὶ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνθρώπων καὶ δικαίους ἔπεμπον εἰς τὸ Ἠλύσιον πεδίον ὡς ἀρίστῳ βίῳ συνεσομένους, τοὺς δὲ πονηροὺς ἐς τὸν τῶν ἀνοσίων χῶρον ἐξέπεμπον ὡς κατὰ λόγον τῆς ἀδικίας κολασθησομένους.

1. Wenn du immer die Wahrheit sagen wirst, so wird man dir auch immer glauben; niemals aber wird man demjenigen, der nicht die Wahrheit gesagt hat, Glauben schenken. 2. Gleichwie der Körper, wenn (gen. abl.) die Seele nicht mehr darin ist, zerstört wird, so wird auch der Staat zerstört werden, wenn die Gesetze nicht sind.

127.

Koch § 47, 4 mit Anmerk. Einübung der Adjectiva verbalia.

1. *Εἰ βουλόμεθα εὐδαίμονες εἶναι, σωφροσύνη ἡμῖν διωκτέα ἐστίν.* 2. *Πειστέον ἐστὶ τοῖς νόμοις.* 3. *Φυλακτέον ἐστὶ τοῖς ἀγαθοῖς μᾶλλον τὸ βλάπτειν ἢ τὸ βλάπτεσθαι.* 4. *Εἰ βούλεσθε ὑμῖν τοὺς θεοὺς ἵλεως εἶναι, θεραπευτέον ἐστὶν ὑμῖν τοὺς θεούς.*

1. Man darf nicht den Lüsten dienen. 2. Die Schlechtigkeit müssen wir fliehen. 3. Man muss *(δεῖ)* die Götter ehren. 4. Wir müssen die Feinde verfolgen bis in das Lager. 5. Man muss die Kinder zur Tugend erziehen.

128.

Koch § 9, 2 nebst Anmerk. 1—2. Das Notwendigste über die Kontraktion. § 22, 1. Einübung von *ἡ Ἀθηνᾶ* Athene, *ὁ Ἑρμῆς* Hermes und *ἡ γῆ* die Erde.

1 *Ἑρμῆν τῆς παλαίστρας εὑρετὴν λέγουσιν.* 2. *Οἱ ναῦται τῷ βορρᾷ θύουσι.* 3. *Ἡ Ἰωνικὴ φιλοσοφία ἤρξατο ἀπὸ Θαλοῦ, ἡ δὲ Ἰταλικὴ ἀπὸ Πυθαγόρου.* 4. *Ἐπὶ κορυφῇ τῆς ἄκρας Σουνίου ναὸς ἦν Ἀθηνᾶς Σουνιάδος.* 5. *Ἡ πᾶσα γῆ Ἀττικὴ ἱερὰ τῆς Ἀθηνᾶς ἐστιν.*

1. Die Erde und der Mond sind Planeten. 2. Hermes war der Erfinder der Leier und des Plektrums. 3. Linus war ein Sohn des Hermes und der Muse Urania. 4. Die Erde ist kugelförmig.

129.

Koch § 22, 2. Einübung von ὁ πλοῦς die Fahrt zu Schiffe und τὸ ὀστοῦν der Knochen.

1. *Πολλάκις ἀνθρώπων ὀργὴ νοῦν ἐξεκάλυψε κρυπτόμενον.* 2. *Ἡ Σικελία περίπλουν ἔχει ἡμερῶν καὶ νυκτῶν πέντε.* 3. *Παράπλους τῆς Λακεδαιμονίων χώρας ἡμερῶν τριῶν ἐστι.* 4. *Βακχυλίδης ἀδελφιδοῦς ἦν Σιμωνίδου τοῦ μελοποιοῦ.* 5. *Νοῦς ἐκπορίζει χρήματ', οὐ νοῦν χρήματα.* 6. *Χαρίλαος ἦν ἀδελφιδοῦς τοῦ Λυκούργου τοῦ τῶν Λακεδαιμονίων νομοθέτου.*

1. Die Perser opferten der Sonne und der Erde und dem Monde. 2. Die Gebeine (Knochen) des Orestes befanden sich in Tegea. 3. Die Rede ist der Spiegel des Sinnes. 4. O Götter, seid gnädig den Schutzflehenden.

130.

Koch § 22 Anmerk. 1—2. § 23. Einübung von χρυσοῦς golden und ἀργυροῦς silbern.

1. *Τῶν Ἀχαιῶν ἡ χλαῖνα ὡς ἐπὶ πλεῖστον ἐρεᾶ καὶ πορφυρᾶ ἦν.* 2. *Τὰ κύπελλα τῶν γενναίων ἀνθρώπων ἦν χρυσᾶ ἢ ἀργυρᾶ.* 3. *Ψυχῆς χαλινὸς ἀνθρώποις ὁ νοῦς ἐστιν.* 4. *Πολλοὶ ἦσαν νεῴ τοῖς θεοῖς ἐν Ἀθήναις, καὶ πολλαὶ στῆλαι λίθιναι καὶ χαλκαῖ ἐν τοῖς νεῴς.* 5. *Τῷ Ἀπόλλωνι ἐν Δελφοῖς πολλὰ ἀναθήματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ χαλκᾶ καθιερεύετο.*

1. Verehrt die Götter; denn sie sind den Guten gnädig. 2. Die Becher der Götter waren golden oder silbern. 3. Man nennt den Verstand das Auge der Seele. 4. Hermes wird für den Erfinder der Leier, Marsyas (für den) der Flöte gehalten.

131.

Koch § 23. Einübung von εὔπλους schiffbar und ἁπλοῦς einfach.

1. *Ἁπλοῦς ἐστιν ὁ τῆς ἀληθείας λόγος.* 2. *Τὸν εὔνουν καὶ ἀληθινὸν φίλον θεράπευε ὡς μέγιστον ἀγαθόν.* 3. *Οἱ ὅμοιοι τοῖς ὁμοίοις εὔνοί εἰσιν.* 4. *Οἱ ἀγαθοὶ πολῖται τοὺς ἄνους δημαγωγοὺς φεύγουσιν.* 5. *Αἱ παρθένοι ἐν κανοῖς τοὺς καρποὺς πρὸς τὸν βωμὸν φέρουσι.* 6. *Πλου-*

τος ἄνευ νοῦ ὁμοίως ἐστὶν ἄχρηστος, ὥσπερ ἵππος ἄνευ χαλινοῦ.

1. Die guten Lehrer sind den Schülern immer wohlgesinnt. 2. Von unverständigen Volksführern werden die Bürger oft irre geführt. 3. Einfach ist die Lebensweise der Götter bei Homer. 4. Wie die Lehrer den Schülern wohlgesinnt sind, so, o Schüler, seid den Lehrern wohlgesinnt.

132.

Koch § 23, 1—4.

1. *Οἱ Ἀχαιοὶ τὴν χλαῖναν ἐρεᾶν καὶ πορφυρᾶν εἶχον.* 2. *Ὁ περὶ τὸν Ἄθων πλοῦς ἦν ἐπικίνδυνος, μάλιστα τῷ τοῦ Δαρείου στόλῳ.* 3. *Ἔστε εὖνοι, ὦ θεοί, τοῖς πορευομένοις καὶ τὸν πλοῦν ἀνύσατε.* 4. *Οἱ νεανίαι, τοῖς ἄνοις ἀνθρώποις πεπιστευκότες, τὴν μεγίστην συμφορὰν κεκινδυνεύκασι.* 5. *Πολλάκις ἐν τοῖς ποταμοῖς αἱ ὁλκάδες κάλῳς ἑλκύονται.* 6. *Κλεάνθης ἔφη, τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.*

1. Man sagt, dass Dädalus der Erfinder der Bildsäulen war. 2. Wir müssen den Gesetzen gehorchen, nicht damit wir nicht gezüchtigt werden, sondern damit uns die Götter wohlgesinnt sind. 3. Unsere Soldaten kämpften so tapfer, dass sie die Feinde in die Flucht trieben und mit ihnen in das Lager eindrangen. 4. Die Ägineten sollen zuerst Münzen geschlagen haben.

133.

Koch § 26, 6. Kontraktion der Komparative auf *ιων*. Einübung von *βελτίων*.

1. *Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις ἐπαιδεύοντο.* 2. *Δεινόν ἐστι, τοὺς βελτίους δουλεύειν τοῖς χείροσι.* 3. *Δίκαιόν ἐστι, τὸν ἀμείνω τοῦ χείρονος ἄρχοντα εἶναι.* 4. *Τὰ τῶν προγόνων τοῖς Ἀθηναίοις ἦν μείζω καὶ πλείω καὶ καλλίω ἢ τοῖς Θηβαίοις.* 5. *Διὰ τοῦτο δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττω δὲ λέγωμεν.* 6. *Τὰ χείρω τῶν κρειττόνων ἕνεκά ἐστιν.*

1. Das Werk ist eine Probe des Handwerkers; wie aber nicht alle Baumeister geschickt sind, so sind die

Häuser der einen schöner, die der anderen aber hässlicher *(αἰσχρός)*. 2. Das Grössere ist nicht immer das Bessere. 3. Viele der Geschöpfe sind blutlos, überhaupt aber alle, welche mehr als vier Füsse haben. 4. Als Cyrus noch ein Knabe mit seinem Bruder und mit anderen Knaben erzogen wurde, wurde er in allen Stücken für den tüchtigsten von allen gehalten.

134.

Koch § 26, 6 Anmerk. 1—2. § 27, 1 u. Anmerk. 1. Einübung von *τὸ γένος* das Geschlecht und *εὐγενής, ές* von gutem Geschlechte. (cf. § 33, 2 nebst Anmerk.).

1. *Ἐν Βοιωτίᾳ δύο εἰσὶν ἐπίσημα ὄρη, τὸ μὲν Ἑλικών, τὸ δὲ Κιθαιρὼν τοὔνομα* (Koch § 9, 5). 2. *Ἀπέχου πονηρῶν κερδῶν.* 3. *Κάτοπτρον εἴδους χαλκός, οἶνος δὲ νοῦ.* 4. *Κέρδη πονηρὰ ζημίαν ἀεὶ φέρει.* 5. *Ἀνάχαρσις, ὁ τοῦ Σόλωνος φίλος, τῷ γένει, ἀλλ' οὐ τοῖς τρόποις Σκύθης ἦν.* 6. *Πολλοὶ μὲν καὶ γενναῖοι ἦσαν καταφανεῖς ἐρασταὶ τοῦ Ἀλκιβιάδου διὰ τὴν λαμπρότητα τῆς ὥρας· ὁ δὲ Σωκράτους ἔρως μέγα μαρτύριον ἦν τῆς ἀρετῆς καὶ εὐφυΐας τοῦ παιδός.*

1. Epaminondas, der Führer der Thebaner, hatte *(εἰμί* c. gen.*)* einen unbekannten Vater. 2. Sprich nicht Lügen, o Knabe. 3. Seid nicht Knechte *(δουλεύω)* der Leidenschaften. 4. Man nennt den Apollo den Erfinder der Cither.

135.

Koch § 27. Einübung von *συνήθης, ες* gewohnt und *τὸ κρέας* das Fleisch.

1. *Θαυμάζομεν Δημοσθένη διὰ τὴν δεινότητα.* 2. *Ἀλκιβιάδης ἐκ τῆς Σάμου ἔχων τὰ χρήματα ἧκεν εἰς Πάρον ναυσὶν εἴκοσιν, ἐκεῖθεν δ' ἀνήχθη ἐπὶ κατασκοπῇ τῶν τριήρων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου, ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει.* 3. *Οἱ Ἀθηναῖοι ἀκούοντες ταῦτα ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ πρὸς τὸν Κῦρον πρέσβεις διὰ Τισσαφέρνους.* 4. *Τούτῳ τῷ ἔτει οἱ Λακεδαιμόνιοι ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν.*

1. Die Ehrengeschenke treiben die Soldaten zur Tapferkeit an. 2. Es ist für den Greis (dat.) nicht leicht die Übel des Greisenalters zu ertragen. 3. Der Tod ist das Heilmittel der Übel im Greisenalter. 4. Die Götter schicken den Menschen Wunder. 5. Die Bundesgenossen schickten den Athenern Dreirudrer und Schwerbewaffnete.

136.

Koch § 27, 2—7. Einübung von Ἡρακλῆς Herkules.

1. *Οἱ θεοὶ τοῖς ἀνθρώποις τὸ πῦρ ἐπόρισαν ἐπίκουρον ψύχους καὶ σκότους.* 2. *Πασῶν τῶν ἐπιθυμιῶν ἐν τῷ γήρᾳ πολλὴ εἰρήνη γίγνεται καὶ ἐλευθερία.* 3. *Ἀνάχαρσις ὀνειδιζόμενος, ὅτι Σκύθης ἦν, ἔφη, τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.* 4. *Ἡρακλῆς τῇ χολῇ τῆς Λερναίας ὕδρας τοὺς οἰστοὺς ἔβαψεν.* 5. *Ἐν τοῖς Πλάτωνος καὶ Ξενοφῶντος βιβλίοις καλὸν Σωκράτους ἐγκώμιόν ἐστιν.* 6. *Ὦ Ἡράκλεις, πόση ἡ τῆς ἀρετῆς καὶ τῶν πραγμάτων δόξα.*

1. Die Phönizier opferten dem Herkules Wachteln. 2. Das Schwert verwundet den Leib, die Rede aber den Geist (*νοῦς*). 3. Das Greisenalter ist für die Menschen eine schwere Last. 4. Der Lehrer des Perikles in (gen.) der Tonkunst war Damon, wenigstens nach (*κατά*) der Meinung Vieler.

137.

Koch § 28. Einübung von ὁ ἰχθύς der Fisch, ἡ σῦς die Sau und ἡ πόλις die Stadt.

1. *Τοὺς ἀμαθεῖς καὶ ἀνοήτους ἰχθῦς οἱ Ἕλληνες ὀνομάζουσι.* 2. *Ὁ Νεῖλος ἔχει παντοῖα γένη ἰχθύων.* 3. *Ὁ χειμὼν διεκώλυσε τοὺς τῶν Ἀθηναίων στρατηγοὺς μετὰ τὴν ἐν ταῖς Ἀργινούσαις ναυμαχίαν μὴ ἀνύειν τοῦτο, ὃ ἐκέλευεν ὁ νόμος, τὴν ἀναίρεσιν τῶν ναυαγῶν.* 4. *Οἱ Λυδοί τε καὶ οἱ Μῆδοι τῆς μάχης ἐπαύσαντο διὰ τὴν τοῦ ἡλίου ἔκλειψιν, ἣν Θαλῆς ὁ Μιλήσιος τοῖς Ἴωσι προηγόρευσεν ἔσεσθαι.*

1. Aus Übermut entstehen (*γίγνομαι*) viele Übel. 2. Ruhm und Reichtum ohne Einsicht sind keine sicheren Besitztümer. 3. Wie dem Leibe die Seele, so sind dem Staate Gesetze notwendig. 4. Die Schlangen haben das Gift in den Zähnen.

138.

Koch § 28. Einübung von γλυκύς süss. (cf. § 32, 2).

1. Οἱ τῶν Σκυθῶν ἵπποι μικροὶ μέν εἰσιν, ὀξεῖς δὲ σφόδρα καὶ δυσπειθεῖς. 2. Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ῃς. 3. Βραχεῖα τέρψις ἐστὶν ἡδονῆς κακῆς. 4. Χαρίεσσα καὶ ἡδεῖά ἐστιν ἡ τῆς ἀηδόνος φωνή. 5. Τὰ ζῶα ἐν τῇ γῇ, οἱ ἰχθύες ἐν τῇ θαλάττῃ, οἱ δὲ ὄρνιθες ἐν τῷ ἀέρι εἰσίν.

1. Aristoteles sagte, die Wurzeln zwar der Erziehung seien bitter, die Früchte aber süss. 2. In der Musik giebt es tiefe und hohe Töne. 3. Kurz ist das Leben, lang die Kunst. 4. Kurz währt (ist) die Ergötzung der Blumen.

139.

Koch § 28, 1—3 mit den Anmerkungen.

1. Ξενοκράτης ἦν σκυθρωπὸς ἀεί, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα· Ξενόκρατες, θύε ταῖς Χάρισιν. 2. Ἡρόδοτος τὸν Κροῖσον λέγει τύραννον ἐθνῶν τῶν ἐντὸς Ἅλυος ποταμοῦ. 3. Οὔτε πλῆθός ἐστιν οὔτ᾽ ἰσχὺς αἰτία τῶν ἐν πολέμῳ νικῶν, ἀλλ᾽ ἡ τῶν ψυχῶν ἀρετή τε καὶ ἀνδρεία. 4. Οὐκ ἐνδεᾶ γε λέγομεν τὸν θεὸν κάλλους ἢ ἀρετῆς εἶναι.

1. Hikesius sagt, dass die Aale wohlschmeckender seien als alle Fische. 2. Das Fleisch der wilden Esel schmeckt (ist) ähnlich dem Hirschfleische, ist aber zarter. 3. Gunst gebiert Gunst, Streit aber Streit. 4. Die Mauern der Stadt der Athener waren ein Werk des Themistokles, des Sohnes des Neokles.

140.

Koch § 29. Einübung von ἡ γραῦς die alte Frau, ὁ u. ἡ βοῦς das Rind und ὁ βασιλεύς der König.

1. Ἀτρεύς, τῶν Μυκηνῶν βασιλεύς, ἦν πατὴρ Ἀγαμέμνονος καὶ Μενέλεω. 2. Οἱ νομεῖς εἰσι τῶν ἀγελῶν βασιλεῖς. 3. Τοῖς βασιλεῦσιν ἔστω ἐπιμέλεια τῶν πολιτῶν. 4. Ἐάν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω. 5. Οἱ ποιμένες τῶν βοῶν ἡγεμόνες. 6. Κροίσῳ τῷ τῶν Λυδῶν βασιλεῖ θησαυροὶ πολλοὶ ἦσαν ἐν Σάρδεσιν. 7. Τοῖς μὲν βουσὶν ἡ ἰσχύς ἐστιν ἐν κέρασι, τοῖς δὲ κυσὶν ἐν ὀδοῦσι, τοῖς δὲ γυψὶν ἐν ὄνυξι, τοῖς δ᾽ ἀνδράσιν ἐν χερσίν.

8. *Παρ' Ἕλλησιν οἱ ποιηταὶ τοὺς βασιλέας λαῶν ποιμένας ὀνομάζουσι.*

1. Im Piräus, dem Hafen von Athen, befanden sich immer viele Schiffe. 2. Die Könige der Lacedämonier waren Nachkommen des Herkules, die der Perser des Achämenes. 3. Das Geschwätz der alten Frauen ist lästig. 4. Die Rinder sind den Menschen nützlich. 5. Die Athener sollen die Söhne des Herkules gerettet haben. 6. Die alten Frauen sind geschwätzig.

141.

Koch § 29, 1—2 nebst Anmerk. Einübung von *ὁ ἥρως* der Halbgott und *ἡ πειθώ* die Überredung.

1. *Θαύμαζε, ὦ νεανία, μετ' αἰδοῦς τὰ τῶν ἀγαθῶν ἀνδρῶν πράγματα.* 2. *Πειθοῖ πάντα ἐστὶν αἱρετὰ παρὰ τοῦ πλήθους.* 3. *Ὦ ἠχοῖ, ψεύδεις πολλάκις τοὺς ἀνθρώπους.* 4. *Κλειὼ καὶ Ἐρατὼ Μοῦσαί εἰσιν· τὴν μὲν Κλειὼ θεραπεύουσιν οἱ ἱστοριογράφοι, τὴν δὲ Ἐρατὼ οἱ λυρικοὶ ποιηταί.* 5. *Οἱ ἥρωες παρ' Ὁμήρῳ τοῖς δόρασι καὶ ξυστοῖς μάχονται.* 6. *Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσει, ἐὰν πείθῃ τοῖς τῶν θεῶν νόμοις.*

1. Die Lieder der Sappho werden den Rosen verglichen. 2. Die Könige der Spartaner opferten vor dem Auszuge in den Krieg dem Jupiter (Zeus) und der Athene. 3. Die Sterne haben eigenes Licht, der Mond aber erhält (*λαμβάνω*) das Licht von der Sonne.

142.

Koch § 30, 1—2 nebst Anmerk. § 31, 1—3 das Wichtigste über die substantiva anomala.

1. *Ἀπέχουσιν αἱ Πλαταιαὶ τῶν Θηβῶν σταδίους ἑβδομήκοντα.* 2. *Ὁ Πειραιεὺς ἀπῆν τεσσαράκοντα στάδια τοῦ ἄστεως.* 3. *Ἐν τούτῳ τῷ τόπῳ ἦσαν θηρία παντοῖα, πλεῖστοι ὄνοι ἄγριοι, πολλαὶ δὲ στρουθοὶ αἱ μεγάλαι· ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες· ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐδίωκον.* 4. *Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' ἐς τοὺς τῶν λεγόντων λόγους ἀποβλέποιεν.* 5. *Τισσαφέρνης ἔφη· δεῖ πορεύεσθαι ὑμᾶς ὡς διὰ φιλίας (χώρας) ἀσινῶς σῖτα καὶ ποτὰ λαμβάνοντας, ὁπόταν μὴ ἀγορὰν παρέχωμεν.* 6. *Τὸν τῶν θεῶν σῖτον λέγουσιν οἱ ποιηταὶ ἀμβροσίαν.*

1. Die Lebensweise der Halbgötter bei Homer ist einfach und allen gleich. 2. Die Bäume werden der Früchte wegen gepflanzt. 3. Die Hellenen opferten dem Halbgotte Herkules wie einem Gotte.

143.

Repetition der früher gelernten substantiva anomala mit etwaigen Erweiterungen.

1. *Ὅμηρος ἐν τῇ Ἰλιάδι πολλοὺς ᾄδει ἥρως, μάλιστα δὲ τὸν Ἕκτορα καὶ τὸν Ἀχιλλέα.* 2. *Χαρίεσσα καὶ ἡδεῖα ἦν ἡ τῶν παρθένων ᾠδή.* 3. *Οἱ τῶν Αἰθιόπων βασιλεῖς τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οὐ τοῖς υἱοῖς τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν* (Schwester). 4. *Δαίδαλος καταδικασθεὶς πρὸς Μίνω φεύγει.* 5. *Τὸ ἔλαιον ταῖς θριξὶ ταῖς τῶν ἄλλων ζώων βλαβερόν ἐστι πλὴν ταῖς τοῦ ἀνθρώπου.* 6. *Οἱ κύνες τοῖς ἀνθρώποις ὠφέλειαν καὶ ἡδονὴν παρέχουσι.* 7. *Ἐν Ὀλυμπίᾳ ἦν καὶ ἄλση καὶ ὄρη δένδρων μεστά, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν καὶ ἵππους.* 8. *Ὥσπερ λύκος ὅμοιος κυνί, οὕτω κόλαξ καὶ παράσιτος φίλῳ.*

1. Die Väter sollen die Söhne ermahnen fromm und gerecht und wahrhaft und folgsam zu sein. 2. Diejenigen, welche (particip.) den Sokrates angeklagt hatten, überredeten die Athener, dass er des Todes würdig sei. 3. Es ist (die Pflicht) eines wackeren Weibes das Haus zu erhalten. 4. Die Krokodile verweilen des Nachts im Wasser.

Zusammenhängende Stücke zur Repetition.

Alexander der Grosse.

Nach Arrian.

Fortsetzung von 115.

144.

Ὁ δὲ Δαρεῖος διαπορευθεὶς τὸ ὄρος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς ἐπ᾽ Ἰσσοὺς προῆγε τὸ στράτευμα· καὶ λαμβάνει τὴν πόλιν κατόπισθεν Ἀλεξάνδρου καὶ ἀποκτείνει χαλεπῶς αἰκισάμενος, ὅσοι διὰ νόσον ὑπολελειμμένοι ἦσαν αὐτοῦ τῶν Μακεδόνων. Καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν

τῷ ὄπισθεν αὐτοῦ ὄντα Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπ' Ἰσσούς, κατασκεψαμένους, εἰ τὰ ὄντα ἐξαγγέλλεται. Οἱ δὲ ἐπανέρχονται καὶ ἀπαγγέλλουσιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον. Ταῦτα δὲ ἀκούσας Ἀλέξανδρος προπέμπει τῶν ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαμβάνει τὴν στρατιὰν πᾶσαν καὶ πορεύεται ἐπὶ τοὺς Πέρσας.

145.

Fortsetzung.

Τῇ δὲ ὑστεραίᾳ Δαρείῳ ἐξαγγέλλεται προσάγων ἤδη Ἀλέξανδρος ὡς ἐς μάχην. Καὶ ὁ Δαρεῖος διεβίβασε τῶν ἱππέων πέραν τοῦ Πινάρου ποταμοῦ ἐς τρισμυρίους μάλιστα τὸν ἀριθμὸν καὶ μετὰ τούτων τῶν ψιλῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυχίαν συντάξειε. Καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς Ἕλληνας μισθοφόρους ἔταξεν ἐς τρισμυρίους κατὰ τὴν φάλαγγα τῶν Μακεδόνων, τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψιλῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος οὐκ ὠφέλιμον διὰ τὴν στενοχωρίαν ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων. Ἐλέγετο δὲ ἡ πᾶσα ἡ σὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως εἶχε κατὰ τὸν τῶν Περσῶν νόμον.

146.

Fortsetzung.

Ἐπειδὴ δὲ συντεταγμένη ἦν ἤδη αὐτῷ ἡ φάλαγξ, Δαρεῖος τοὺς ἱππέας, οὕστινας πρὸ τοῦ ποταμοῦ ἐτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ τῆς στρατιᾶς σύνταξις εἴη, κελεύσας διὰ τοῦ ποταμοῦ ἀπέρχεσθαι ὀπίσω, τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρᾳ πρὸς τῇ θαλάττῃ ἔταξεν, μέρος δέ τι αὐτῶν ἐπὶ τῷ εὐωνύμῳ πρὸς τὰ ὄρη. Ὡς δὲ ἄχρηστοι ἐνταῦθα διὰ τὴν στενοχωρίαν ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας ἐκέλευσεν. Ὁ δὲ Ἀλέξανδρος, αἰσθανόμενος πᾶσαν τὴν τῶν Περσῶν ἵππον τεταγμένην ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ, καὶ αὐτὸς τοὺς ἱππέας ἐπὶ τῷ εὐωνύμῳ κέρᾳ, τὴν δὲ Μακεδόνων φάλαγγα

ἐπὶ τοὺς Ἕλληνας τοὺς μισθοφόρους τοὺς Δαρείου τάξας χρόνον τινὰ προῆγεν ἀναπαύων.

147.

Fortsetzung.

Ἐπεὶ δὲ ἐντὸς βελῶν ἦσαν, πρῶτοι δὴ οἱ περὶ Ἀλέξανδρον καὶ αὐτὸς ὁ Ἀλέξανδρος τὸν Πίναρον ποταμὸν διαβαίνουσι. Καὶ ἡ μάχη εὐθὺς ἐν χερσὶν γίγνεται, καὶ τρέπονται τοῦ Περσικοῦ στρατεύματος οἱ ἀντιτεταγμένοι. Ἐν δὲ τῷ ἀριστερῷ κέρατι ἐπιέζοντο οἱ Μακεδόνες ὑπὸ τῶν Ἑλλήνων τῶν μισθοφόρων τῶν Δαρείου, καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν. Ἐν δὲ τούτῳ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις, ἐπειδὴ τοὺς ἀντιτεταγμένους εἰς φυγὴν ἔτρεψαν, ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους τοὺς Δαρείου ἐπέκαμψαν καὶ κατὰ κέρας προσπίπτοντες αὐτοὺς ἔκοπτον.

148.

Fortsetzung.

Τότε δὴ λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο· Καὶ οἱ ἱππεῖς οἱ τῶν Περσῶν, πρότερον ἀνδρειότατα ἀγωνισάμενοι, ἐπεὶ αἰσθάνονται τοὺς μισθοφόρους ὑπὸ τῆς φάλαγγος συγκοπτομένους, φεύγουσι, καὶ φεύγει ὁ Δαρεῖος εὐθὺς ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις. Καὶ πρῶτον μέν, ἕως ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐπετύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο· ὕστερον δὲ τὸ ἅρμα ἀπολείπει καὶ τὴν ἀσπίδα καὶ τὸν κάνδυν καὶ τὸ τόξον ἐπὶ τοῦ ἅρματος· καὶ αὐτὸς ἐφ᾽ ἵππου ἔφευγεν. Ὁ δὲ Ἀλέξανδρος τοὺς φεύγοντας ἐδίωκε κατὰ κράτος.

149.

Fortsetzung.

Ἐπειδὴ δὲ συνεσκόταζε ἤδη, ἐς τὸ ἔμπαλιν ἀπετρέπετο ὡς ἐπὶ τὸ στρατόπεδον, καὶ λαμβάνει τὸ ἅρμα τὸ Δαρείου καὶ τὴν ἀσπίδα ἐπ᾽ αὐτῷ καὶ τὸν κάνδυν καὶ τὸ τόξον. Λαμβάνουσι δὲ οἱ Μακεδόνες καὶ τὸ στρατόπεδον τὸ Δαρείου ἐξ ἐφόδου καὶ ἐν τούτῳ τήν τε μητέρα τὴν

Δαρείου καὶ τὴν γυναῖκα καὶ υἱὸν νήπιον καὶ θυγατέρας δύο. Τῶν δὲ Περσῶν ἐν τῇ μάχῃ καὶ ἐν τῇ διώξει ἐφονεύθησαν Ἀρσάμης καὶ Ῥεομίθρης τῶν ἐπὶ τῷ Γρανικῷ ποταμῷ ἡγεμόνων καὶ Σαβάκης ὁ Αἰγύπτου σατράπης καὶ Βουβάκης τῶν ἐντίμων Περσῶν· τὸ δὲ ἄλλο πλῆθος τὸ τῶν νεκρῶν ἦν εἰς δέκα μάλιστα μυριάδας καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυρίους.

Verba contracta.

150.

Koch § 43, 1—2. Einübung des Indik. Präs. und Imperfekti Akt. von *τιμάω* ich ehre.

1. *Οἱ Πέρσαι τιμῶσιν ἥλιον καὶ σελήνην καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ.* 2. *Γελᾷ ὁ μῶρος, κἄν (=καὶ ἐάν* Koch § 9, 5*) τι μὴ γελοῖον ᾖ.* 3. *Οἱ Ἕλληνες ἐπὶ τῷ Στρύμονι ποταμῷ ἐνίκων μαχόμενοι τοὺς Μήδους.* 4. *Οἱ θεοὶ τὰ ἀνθρώπινα κυβερνῶσι σύμπαντα.* 5. *Οἱ Πέρσαι τοὺς μάγους οὐ θάπτουσιν, ἀλλ' οἰωνοβρώτους ἐῶσιν.* 6. *Σὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται (=καὶ ὀδύρεται).*

1. Gleichwie die Väter die Kinder, lieben auch die Dichter ihre Gedichte. 2. Oft besiegt auch der schlechte den guten Mann. 3. Viele Menschen sterben in der Blüte der Jugend.

151.

Koch § 43, 3. Einübung des Indik. Präs. und Imperfekti Akt. von *ποιέω* ich mache, schaffe.

1. *Αἰσχύλος, ὥς λέγουσι, τὰς τραγῳδίας μεθύων ἐποίει.* 2. *Ὀρφεὺς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα.* 3. *Ἐν τῇ τυραννίδι ἡ βία κρατεῖ ὥς ἐν πολέμῳ.* 4. *Οἱ Λακεδαιμόνιοι τὸν Λυκοῦργον ἐπόθουν ἀπόντα καὶ μετεπέμποντο πολλάκις.* 5. *Σωκράτης ἐπῄνει σχολὴν ὥς κάλλιστον κτημάτων.* 6. *Οἱ Καρχηδόνιοι περὶ τῆς Σικελίας ἐπολέμουν πρὸς Ῥωμαίους.*

1. Die Menschen wohnten vor Alters in Höhlen. 2. Die Römer nannten vor Alters Sicilien die Vorratskammer Roms. 3. Alexander belagerte Tyrus sieben Monate.

152.

Koch § 43, 4. Einübung des Ind. Präs. und Imperfekti Akt. von *δουλόω* ich unterjoche.

1. *Χρύσιππος ἐζήλου Ἐπίκουρον ἐν πολυγραφίᾳ· εἰ γάρ τι γράψαι Ἐπίκουρος, ἐφιλονείκει τοσοῦτο γράψαι ὁ Χρύσιππος.* 2. *Πολλοὺς κακῶς πράττοντας ὀρθοῖ τύχη.* 3. *Ὅμηρος τοῖς τῶν δένδρων φύλλοις τὸ γένος τῶν ἀνθρώπων ὁμοιοῖ.* 4. *Ἵππειον Ποσειδῶνα τιμῶσιν οἱ Ἕλληνες καὶ θύουσιν αὐτῷ ἐπὶ Ἰσθμῷ.* 5. *Λέγεται τοὺς Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν.*

1. Das Schicksal bekränzt, wen immer (*ὅστις*) es will. 2. Der Leichtsinn verdirbt die Tüchtigkeit (*ἀρετή*) der Natur, der Unterricht aber verbessert die Schlechtigkeit derselben. 3. Not bricht Eisen (unterwirft alles). 4. Die Lüge hasst jeder Weise und Verständige.

153.

Koch § 43, 5—6. Einübung des Konjunkt. und Opt. Präs. Akt. von *τιμάω*.

1. *Κῦρος ἦν φιλομαθής· πολλὰ μὲν αὐτὸς τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοι, ὅσα δὲ ἄλλοι αὐτὸν ἐρωτῷεν, ταχὺ ἀπεκρίνετο.* 2. *Ὁ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτων οὐκ ἂν δικαίως ἐπιτιμῴη τοῖς ἄλλοις.* 3. *Ὁ ἐν Δελφοῖς θεός, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν θεοῖς χαρίζοιτο, ἀποκρίνεται, νόμῳ πόλεως.* 4. *Ποτὸν πᾶν ἡδὺ ἦν Σωκράτει διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.* 5. *Εἴθε πάντες οἱ παῖδες τοὺς γονέας τοσοῦτον ἀγαπῷεν, ὅσον Κλέοβις καὶ Βίτων τὴν μητέρα ἠγαπάτην.*

1. Themistokles sagte, dass das Siegeszeichen des Miltiades ihn nicht schlafen lasse (opt.). 2. Wie wohl möchte ich es wagen dem Freunde zu schaden? 3. Lasst uns, o Soldaten, muthig auf die Feinde losstürzen.

154.

Koch § 43. Einübung des Konjunkt. und Opt. Präs. Akt. von *ποιέω*.

1. *Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε.* 2. *Σόλων ὁ Ἀθηναίων νομοθέτης ἐκέλευσε μήτε ἄρχειν τὸν σφόδρα νέον μήτε*

συμβουλεύειν, εἰ καὶ ἄριστα γνώμης (= ἀρίστην γνώμην) δοκοίη ἔχειν. 3. *Ἀργὸς μὴ ἴσθι, μηδ' ἐὰν πλουτῇς.* 4. *Ὅταν βοῤῥᾶς πνέῃ, καλοὶ πλοῖ εἰσιν ἐκ τοῦ Πόντου εἰς τὴν Ἑλλάδα.* 5. *Πάντῃ πάντα τοῖς θεοῖς ὕποχα καὶ πανταχῇ πάντων οἱ θεοὶ κρατοῦσιν.* 6. *Ἅπαντας ἡ παίδευσις ἡμεροὺς τελεῖ.*

1. Wen die Götter lieben, stirbt jung. 2. Die Syrer ehrten die Fische wie Götter. 3. Die Lacedämonier, wann (*ὅταν*) sie jemanden sehr loben, sagen, dass er ein göttlicher Mann sei. 4. Der schlechte Mann ist unglücklich, auch wenn er glücklich ist.

155.

Koch § 43. Einübung des Konjunkt. und Opt. Präs. Akt. von *δουλόω*.

1. *Μὴ ζηλοῖτε τὰ τῶν τυράννων· αὐτῶν γὰρ ὁ βίος φόβου καὶ κινδύνου πλήρης.* 2. *Χαλεπῶς ἂν ταῖς τῶν ἀγαθῶν ἀρεταῖς ἐξισοῖς τοὺς ἐπαίνους.* 3. *Κῦρος, εἰ πορεύοιτο καὶ πλεῖστοι παρεῖεν, προσεκάλει τοὺς φίλους καὶ ἐσπουδαιολόγει, ὡς δηλοίη οὓς τιμᾷ.* 4. *Ζηλῶμεν, ὦ φίλοι, τὴν σοφίαν.* 5. *Τίς ἂν στεφανοίη σώφρων ὢν τοὺς τῆς πατρίδος προδότας;* 6. *Οἱ Ἀθηναῖοι στόλον ἑκατὸν νεῶν κατὰ τὴν Πελοπόννησον ἀπέπεμψαν, ἵνα τὴν τῶν Λακεδαιμονίων χώραν δῃοῖεν.*

1. Möchten doch die Jünglinge nach der Weisheit streben. 2. Lasst uns das Land der Feinde verwüsten. 3. Niemand wohl möchte seine eigenen Fehler offenbar machen. 4. Die Kolchier bestatten (begraben) die Toten in Fellen und hängen sie an den Bäumen auf.

156.

Koch § 43. Einübung des Imperat., Infinit. und Part. Präs. Akt. von *τιμάω*.

1. *Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.* 2. *Καλὸν τὸ γηρᾶν καὶ τὸ μὴ γηρᾶν καλόν.* 3. *Ὅρα τὸ μέλλον, τὰ σπουδαῖα μελέτα, θεὸν τίμα, τελεύτα ἄλυπος.* 4. *Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη.* 5. *Τοὺς τοῖς ἄλλοις ἁμαρτάνουσιν ἐπιτιμῶντας ἑαυτοὺς παράδειγμα παρέχειν ἀνάγκη (ἐστίν).* 6. *Πᾶς νοῦν ἔχων τιμάτω τὰς τῶν γονέων εὐχάς.*

1. Salmoneus wagte (es) dem Zeus entgegenzudonnern. 2. Der Philosoph Zeno sagte zu demjenigen, welcher (partic.) ihn fragte, wie *(πῶς)* ein junger Mann *(νέος τις)* am wen'gsten fehle: wenn er (diejenigen) vor Augen hat, die er am meisten ehrt und (vor denen) er sich (am meisten) schämt. 3. Was sich nicht ziemt, (das) höre weder noch sieh (es).

157.

Koch § 43. Einübung des Imperat., Infinit. und Part. Präs. Akt. von *ποιέω*.

1. *Ὁ φθονῶν ἑαυτὸν ὡς ἐχθρὸν λυπεῖ.* 2. *Πολλοὶ δοκοῦντες ἑαυτοὺς φιλεῖν οὐκ ἀληθῶς φιλοῦσι.* 3. *Ἡ συνήθεια κόρον γεννᾷ· οἰκοῦντες γῆν ζητοῦμεν θάλασσαν, καὶ πλέοντες πάλιν περισκοποῦμεν τὸν ἀγρόν.* 4. *Πῶς ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς ἤ, ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν;* 5. *Εὐτυχῶν μὲν μέτριος ἴσθι, δυστυχῶν δὲ φρόνιμος.*

1. Gehe mit Guten um. 2. Beneide Niemanden. 3. Überlege, und dann handele. 4. Kato pflegte zu sagen, er liebe mehr diejenigen, welche (partic.) erröteten, als diejenigen, welche blass würden.

158.

Koch § 43. Einübung des Imperat., Infinit. und Part. Präs. Akt. von *δουλόω*.

1. *Οἱ ἔφοροι, ἀρχὴ τῶν Σπαρτιατῶν μεγίστη, ἱκανοὶ ἦσαν ζημιοῦν, ὃν βούλοιντο.* 2. *Πυθαγόρας ὁ φιλόσοφος παρεκάλει τὴν λιτότητα ζηλοῦν· τὴν γὰρ πολυτέλειαν ἅμα τάς τε οὐσίας τῶν ἀνθρώπων διαφθείρειν καὶ τὰ σώματα.* 3. *Ὑμεῖς ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καὶ χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν, ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων καὶ προνοεῖν.* 4. *Μὴ φθόνει εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.* 5. *Ὅτι ἂν ποιῇς, νόμιζε ὁρᾶν θεούς τινας.*

1. Eifere dem rechtschaffenen und verständigen Manne nach. 2. Fremden war es nicht erlaubt in Sparta

zu leben. 3. Den Feldherrn schien es nicht sicher zu sein in Zelten zerstreut zu lagern. 4. Keiner soll die Unglücklichen (partic.) verspotten.

159.

Repetition des Präs. und Imperfekts Akt. der verba contracta.

1. *Τοιαύτη ἦν δύναμις τοῦ Περικλέους παρὰ τοῖς Ἕλλησιν, ὥστε ὁ κωμικὸς λέγει· Ἤστραπτεν, ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα.* 2. *Οἱ Ἕλληνες ἐτίμων θεοὺς ἱεροῖς, ἀναθήμασι, θυσίαις, πανηγύρεσι, προσόδοις.* 3. *Ἃ μὴ δεῖ ποιεῖν, ταῦτα μηδὲ ὑπονόει ποιεῖν.* 4. *Πλέοντος ἀπὸ Τροίας Ἡρακλέους, Ἥρα χαλεποὺς ἔπεμψε χειμῶνας.* 5. *Διὰ μέσου τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσὶν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως.*

1. Wenn du von allen Bürgern geehrt zu werden wünschest, so thue dem Staate Gutes. 2. Megasthenes sagt, dass die Inder den Dionysus mit langem Haare darstellen. 3. Keiner ist frei, wenn (partic.) er nicht über sich selbst herrscht.

160.

Fortsetzung.

1. *Μή σε νικάτω κέρδος.* 2. *Οἱ πλεονεκτοῦντες πολεμοῦσιν ἀεί, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες.* 3. *Οὐ μετανοεῖν, ἀλλὰ προνοεῖν δεῖ τὸν ἄνδρα τὸν σοφόν.* 4. *Ὁ Ἀσωπὸς καὶ ὁ Ἰσμηνὸς διὰ τοῦ πεδίου ῥέουσι τοῦ πρὸ τῶν Θηβῶν.* 5. *Ζῆν ἡδέως οὐκ ἔστιν ἀργὸν καὶ κακόν.* 6. *Πῶς μᾶλλον ἂν ἀσκοῖτε τὴν ἀρετήν, πῶς σπουδαιότερον ἂν ζηλοῖτε τὴν σοφίαν ἢ τηροῦντες τὰς θεοῦ ἐντολάς;* 7. *Σωκράτης ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵνα ἐσθίοιεν, αὐτὸν δὲ ἐσθίειν, ἵνα ζῴη.*

1. Lache nicht über diejenigen, welche (partic.) verspottet werden. 2. Die Gesetze strafen nicht nur diejenigen, welche (partic.) Unrecht thun, sondern sie nützen auch den Gerechten. 3. Es schien den Feldherrn, dass man durch die Gebirge marschieren müsse. 4. Seine Mutter Parysatis stand dem Cyrus bei, weil sie ihn mehr liebte als den Artaxerxes, welcher König war.

161.

Fortsetzung.

1. *Παταγύας, ἀνὴρ Πέρσης, τῶν ἀμφὶ Κῦρον πιστῶν προφαίνεται ἐλαύνων ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ Ἑλληνικῶς, ὅτι βασιλεὺς στρατεύματι πολλῷ προσέρχεται ὡς εἰς μάχην κατεσκευασμένος.* 2. *Τὸ πεινῆν μὲν ἀνιαρόν ἐστι, τὸ δὲ πεινῶντα ἐσθίειν ἡδύ.* 3. *Δεινόν γ᾽ ὅταν τις μὴ φρονῶν δοκῇ φρονεῖν.* 4. *Δηλοῦσι τῶν ἠπειρωτῶν τινες ἔτι καὶ νῦν, οἷς κόσμος (ἐστὶ) καλῶς τοῦτο δρᾶν, καὶ οἱ παλαιοὶ τῶν ποιητῶν, τὰς πύσιεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, εἰ λῃσταί εἰσιν.*

1. Skylax schiffte den Fluss Indus hinab nach Osten in das Meer. 2. Was alle im Munde führten, ist jetzt gethan (perf. v. *πράσσω*) 3. Dies bezeugt am meisten Homer. 4. Die Korinthier riefen sofort die Bundesgenossen nach Sparta herbei und schrieen, als sie gekommen waren, gegen die Athener, dass sie die Verträge gebrochen hätten (*λύω* opt.) und den Peloponnes schädigten.

162.

Koch § 43. Einübung des Indik. Präs. und Imperf. Pass und Medii von *τιμάω*.

1. *Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δ᾽ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.* 2. *Οἱ Ἀθηναῖοι Σόλωνι νομοθέτῃ ἐχρῶντο πρὸς τὴν πολιτείαν, καὶ ἠξίουν κατὰ τὰ προστάγματα αὐτοῦ ζῆν.* 3. *Ἱππόλυτος ὑπὸ τῆς Ἀρτέμιδος ἐτιμᾶτο.* 4. *Οἱ μὲν σοφισταὶ πλουσίους καὶ νέους θηρῶνται, οἱ δὲ φιλόσοφοι πᾶσι κοινοὶ καὶ φίλοι εἰσίν.* 5. *Εἰ ἡμῶν τινα αἰτιᾷ, φράζε· παρέχομεν γὰρ ἡμᾶς αὐτούς σοι εἰς κρίσιν.* 6. *Φίλων λόγοις οἱ ἀγαθοὶ νικῶνται.* 7. *Ἡ ἰατρικὴ πᾶσα διὰ Ἀσκληπιοῦ κυβερνᾶται.*

1. Alles Gute erwerben wir durch Anstrengung. 2. Orpheus, welcher singend Steine und Bäume bewegte, wurde besonders in Theben geehrt. 3. Demeter irrte ihre Tochter suchend umher. 4. Wohlwollende Rede heilt Betrübnis.

163.

Koch § 43. Einübung des Konjunkt. und Optat. Präs. Pass. und Medii von *τιμάω*.

1. *Ἠλάλαζον οἱ Ἕλληνες τῷ Ἐνυαλίῳ, ὅτε* (so oft) *ἐς μάχην ὁρμῷντο.* 2. *Περίβλεπτος ἂν οὐχ ὑπ᾽ ἰδιωτῶν μόνον, ἀλλὰ καὶ ὑπὸ πολλῶν πόλεων ἀγαπῷο ἄν.* 3. *Οὐκ ἀεικὲς παρὰ τοῖς παλαιοῖς, ἐάν τις ὑπ᾽ ἐχθρῶν ἐξαπατᾶται.* 4. *Οὐ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους.* 5. *Φίλοις καὶ ἑταίροις βοηθῶν ἄν τις κτῷτο μείζους καὶ σεμνοτέρας τὰς ἐκείνων ὑπηρεσίας εἰς αὑτόν.* 6. *Μητροκλῆς ἔφη, τὸν πλοῦτον βλαβερὸν εἶναι, εἰ μή τις ἀξίως αὐτῷ χρῷτο.*

1. Sokrates bewirkte, dass seine Schüler sich nicht nur, wenn sie von den Menschen gesehen wurden, des Ungerechten und Schimpflichen enthielten, sondern auch wenn sie sich in der Einsamkeit aufhielten. 2. Derjenige, welcher lehrt, was man sagen und thun muss (lehrt zu sagen und zu thun das, was man [sagen und thun] muss), möchte wohl mit Recht geehrt werden.

164.

Koch § 43. Einübung des Imperativ, Infinitiv und Part. Präs. Pass. und Medii von *τιμάω*.

1. *Ποιοῦσιν οἱ κωμῳδοὶ τοιαῦτα, ἐφ᾽ οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι.* 2. *Μακάριος, ὃς οὐσίαν καὶ νοῦν ἔχει· χρῆται γὰρ τῇ οὐσίᾳ εἰς ἃ χρῆσθαι δεῖ καλῶς.* 3. *Εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργέτει, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφέλει, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ᾽ ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρῶ εὖ ποιεῖν.* 4. *Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις.* 5. *Πάντας πειρῶ νικᾶν εὖ ποιῶν.* 6. *Ὅταν μάλιστα εὐπορῇς, τότε πρὸ τῆς ἀπορίας μηχανῶ.* 7. *Αὐτὸς ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν θέλε.*

1. Versucht jedes Werk mit den Göttern anzufangen. 2. Niemals versuche Richter zwischen (gen.) zwei Freunden zu sein. 3. Heile nicht das Übel mit einem Übel. 4. Arme wünscht niemand zu Freunden zu erwerben 5. Freunde erwirb nicht schnell. 6. Das Allerangenehmste und Allernützlichste ist, durch Wohlthaten zugleich zuverlässige und nützliche Freunde zu erwerben.

165.

Koch § 43. Einübung des Indik. Präs. und Imperf. Pass. und Medii von *ποιέω*.

1. *Λυκοῦργον, τὸν τοῖς Σπαρτιάταις νομοθετοῦντα, θαυμάζω τε καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι· αὐτοῦ γὰρ τοῖς νόμοις πειθόμενοι εὐδαιμόνουν οἱ Σπαρτιᾶται καὶ εὐδοκιμοῦντο παρ' ἄλλοις ἀνθρώποις.* 2. *Τέλης ὁ φιλόσοφος λέγει· διὰ κέρδος ἱερὰ συλᾶται, ἡ φιλία παραβαίνεται, πίστις ἀμελεῖται, οἱ πλησίον ἀδικοῦνται, οὐδὲ ἓν ὀκνεῖται κακόν.* 3. *Ἀλέξανδρος τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγεῖτο.* 4. *Οὐ πάντα ἀνθρώπῳ τελεῖται κατὰ γνώμην.* 5. *Ἡ τοῦ θεοῦ φρόνησις ἅμα πάντων ἐπιμελεῖται.* 6. *Αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται.*

1. Die Künste ahmen die Natur nach. 2. Der Arme wird bemitleidet, der Reiche aber beneidet. 3. Die Menschen ahmen dann am meisten den Göttern nach, wenn sie Gutes thun. 4. Gott sorgt für alle.

166.

Koch § 43. Einübung des Konjunkt. und Optat. Präs. Pass. und Medii von *ποιέω*.

1. *Οἱ θεοὶ θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν, οὓς ἂν περὶ πλείστου ποιῶνται.* 2. *Ἐν παντὶ πράγματι τούτοις τοῖς ἀνθρώποις μάλιστα ἐθέλωμεν πείθεσθαι, οὓς ἂν ἡγώμεθα βελτίστους εἶναι.* 3. *Ἄριστ' ἂν αἱ πόλεις οἰκοῖντο, ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δ' ἄρχοντες τοῖς νόμοις.* 4. *Νοῦν ἡγεμόνα ποιώμεθα πασῶν τῶν πράξεων.* 5. *Μὴ ἐπὶ παντὶ λυπώμεθα.* 6. *Ἄξιον τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἳ ἂν ὠφέλειαν μὴ προαιρῶνται τοῦ δικαίου.* 7. *Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσει, ἐὰν πρῶτον σαυτὸν αἰδῇ.*

1. Der Starke muss mild sein, damit die Nachbarn ihn mehr scheuen als fürchten. 2. Züchtige die Leidenschaften der Seele, damit du nicht von ihnen gestraft wirst. 3. Was wir tadeln, das lasst uns nicht nachahmen. 4. So oft Cyrus der ältere einen Zug gegen Feinde unternahm, opferte er zuerst dem Könige Zeus, dann aber auch den anderen Göttern. 5. Wir wollen die Guten nicht nur loben, sondern auch ihnen nachahmen.



